F. 84 ἐπινοίας | ὁ μάρτυς ταχεῖαν εὗρεν τὴν διόρθωσιν, ὁ τὰ μεγάλα πρὸς ἀρετὴν ἐπιτηδεύων. συνονούμενος γὰρ παρὰ Χριστιανῶν ὁπόσα καὶ συνωνήσατο, ταῦτα εἴς τε τὴν προσκομιδὴν καὶ τοῖς δεομένοις παρεῖχεν. καὶ ἦν τὸ καπηλεῖον αὐτοῦ ὅπερ ἐπὶ τοῦ κατακλυσμοῦ ἡ κιβωτὸς Νῶε τοῖς ἐν αὐτῇ διασωθεῖσιν ἐγένετο· ὥσπερ γὰρ τότε καθ' ὅλης τῆς γῆς τοῦ ἀφανισμοῦ ἐπελθόντος οὐκ ἦν μέθοδος σωθῆναί τινα ὀλίγον τι παρελθόντα τῆς κιβωτοῦ διὰ τὸ πᾶσαν ὁμοῦ τὴν ξηρὰν θαλαττεύεσθαι, τὸν αὐτὸν τρόπον ἐν τῇ ἡμετέρᾳ πόλει οὐκ ἦν τινα περισωθῆναι Χριστιανὸν ἐκτὸς τοῦ δωματίου τοῦ μάρτυρος· ἦν γὰρ παντὸς καπηλεῖον καὶ οἶκος εὐκτήριος καὶ τοῖς ξένοις ἦν καταγώγιον καὶ θυσιαστήριον τοῖς ἱερεῦσιν εἰς τὸ προσφέρειν τὰ δῶρα· οὕτω γὰρ πάντες ἐκεῖ κατέφευγον, ὡς ναυτικοὶ σκάφην κατάγοιεν χειμαζομένην. ταῦτα τῆς καπηλείας τοῦ δικαίου τὰ κέρδη, ταῦτα τὰ πλεονεκτήματα τῆς ἐμπορίας τοῦ μάρτυρος, καὶ τὸ θαυμαστὸν τῆς εὐσεβείας καπηλεῖον εὐορμότατος τῶν ναυαγούντων λιμὴν ἐγνωρίζετο. ἀλλὰ περὶ μὲν τούτων ἀρκέσειεν, ὅπως καὶ ἐπ' ἄλλων καλῶν πραγμάτων τοῦ μάρτυρος τὸν λόγον μετενέγκωμεν.

[3] ἀχίμαστοσ V   [4] κρυπτωμένων V   [5] ἀνύποπτος scripsi; ἀνύποπτοτοσ V: ἀνυπόπτοτοσ V'   [6] τοῖς... ὀχλουμένοις corr. Papebroch, τοὺσ... ὀχλουμένουσ VV'   [7] ἰατρίασ V; ἰατρείασ V'   [13] οὔπω V: ὅπου V'   [17] βιωτικῆς ex βιωτῆς V'   [17–18] ἀναφορὰ scribebam; ἀνοφορὰ V: ἀνωφορὰ V'   [20] χαλεποτάτησ VV'   [23] προσκομηδὴν V   [26] ὀλίγόν τι VV' sic cum duplici accentu   [29] δοματίου V; δημοτίου V'.

8. Ἐν ταῖς ἡμέραις ἐκείναις συνέβη Βίκτορά τινα φίλον τοῦ μάρτυρος ὑπὸ τῶν ἀσεβῶν ἁρπαγέντα κατέχεσθαι. ἦν δὲ αὕτη τῶν ἐγκλημάτων ἡ πρόφασις· τινὲς τῶν ἱερέων τῆς Ἀρτέμιδος κατηγόρουν αὐτοῦ, ὡς ὅτι ἔφησεν Βίκτωρ ὅτιπερ Ἀπόλλων τὴν ἰδίαν ἀδελφὴν Ἄρτεμιν ἐν Δήλῳ F. 84v παρὰ τῷ βωμῷ ἐβιάσατο καὶ ὅτι ὤφειλον | οἱ Ἕλληνες αἰσχύνεσθαι ἐπὶ ταύτῃ τῇ ἀσελγείᾳ τῶν θεῶν αὐτῶν σεμνυνόμενοι, οὐκ ἐχρῆν δὲ ταῦτα οὐδὲ ἄνθρωπον πράττειν, ἔγκλημα ὂν τὸ τοιοῦτον τόλμημα. ταῦτα μὲν τοῦ Βίκτορος κατηγόρουν· προσήρχοντο δὲ αὐτῷ πλεῖστοι τῶν Ἑλλήνων κολακεύοντες καὶ λέγοντες· Πείσθητι τῷ ἡγεμόνι, καὶ ἕξεις τιμὰς πολλὰς καὶ φίλος ἔσῃ τῶν βασιλέων καὶ χρήματα παρ' αὐτῶν λήψῃ καὶ ἐν ταῖς αὐλαῖς αὐτῶν διαπρέψεις. εἰ δὲ μὴ πεισθῇς τῷ ἡγεμόνι, γνώσῃ ὅτι πικραὶ κολάσεις μένουσί σε καὶ ἀφανισμὸς τοῦ οἴκου σου ἔσται καὶ τὰ χρήματά σου τῷ ταμιείῳ προσκυρωθήσεται καὶ τὸ γένος σου ἅπαν ἀφανισθήσεται καὶ μετὰ τὸ κολασθῆναί σε τὸ σῶμά σου κυσὶ ῥιφήσεται πρὸς ἀνάλωσιν. ταῦτα καὶ τὰ τοιαῦτα πολλὰ οἱ ἀσεβεῖς τῷ Βίκτορι διελέγοντο, ὁ δὲ μάρτυς τῆς εὐσεβείας Θεόδοτος εἰσελθὼν νυκτὸς εἰς τὸ δεσμωτήριον, ἤλειφεν αὐτὸν τοῖς λόγοις τοῦ θεοῦ γυμνάζων. ἔφασκεν οὖν· Οἱ Χριστιανοὶ οὐκ ἄλλων τινῶν ὀφείλουσιν ἀντέχεσθαι ἢ βίου σεμνότητος καὶ πολιτείας ὀρθῆς καὶ γνώμης ἀμεταθέτου περὶ τὴν ὄντως εὐσέβειαν. ἡ γὰρ τῶν τοιούτων κτῆσις σπάνιος καὶ δυσθήρατος οὐκ εἰς πολλοὺς ἐρχομένη, ἀλλ' ἑαυτὴν εἰς τοὺς ὀλίγους συστέλλουσα.

9. Ἔλεγεν δὲ πάλιν πρὸς αὐτὸν ὁ ὅσιος· Ὦ Βίκτορ, μηδ' ὅλως ἀκούσῃς τῶν ἀπατηλῶν καὶ βεβήλων λόγων, ὧν οἱ μιαροὶ ἔλεγόν σοι, μηδ' ὅλως ἀνάσχῃ τῆς νουθεσίας αὐτῶν, μηδὲ ἐγκαταλιπὼν τὰ ἡμέτερα ἀκο- F. 85 λουθήσῃς ἐκείνοις καὶ ἀντὶ σωφροσύνης ἀκολασίαν ἑλόμενος | καὶ ἀντὶ δικαιοσύνης ἀδικίαν, ἀντὶ δὲ εὐσεβείας τῆς πρὸς τὸ θεῖον ἀσέβειάν τε καὶ ὕβριν. μηδαμῶς, ὦ Βίκτορ, μηδαμῶς, ἀλλ' ὅσον δοκοῦσιν αἱ παρὰ τῶν πονηρῶν ὑποσχέσεις, τοσοῦτον εἰς βόθρον κατάγουσι τοὺς πειθομένους αὐτοῖς. ἆρ' οὐ δοκεῖ σοι ὅτι καὶ ⟨οἱ⟩ Ἰουδαῖοι τοιαύταις ὑποσχέσεσιν Ἰούδαν τὸν προδότην ἠπάτησαν; οὐ τοσοῦτον ὄφελος ἡ τῶν τριάκοντα ἀργυρίων δόσις ἐγένετο, ὥστε ἐκείνων μὲν ἡ χρῆσις εἰς ταφὴν τοῖς ξένοις ἐγένετο, Ἰούδα δὲ διασαπέντος καὶ ὀγκωθέντος οὐδὲν τοῦτον ὠφέλησε τὰ χρήματα ἢ τὸν δι' ἀγχόνης μισθὸν ἐκομίσατο; μὴ οὖν παρὰ πονηρῶν χρηστόν τι ἔλπιζε, αἱ γὰρ τῶν τοιούτων ὑποσχέσεις πρὸς αἰώνιον ὁδηγοῦσι θάνατον. τούτοις τοῖς λόγοις ὁ δίκαιος ὑποστηρίζων τὸν Βίκτορα, τέως ἔμενεν ἀμετάθετος. ὅθεν τὰ μὲν πρότερα γενναίως ἐνεκαρτέρησεν ταῖς βασάνοις καὶ

4 δίλω *VV'* 9 ἡγεμῶνι *V'*, corr. ο supra lin. 12 μένουσί σοι *VV'* 16 δεσμώτήριον sic cum duplici accentu *V* 20 δυσθήρατος ex δυσθύρατ. *V'* 22 ἔλεγε *V'* 24 ἐγκαταλειπὼν *V'* 29 ἆρ οὐν ἆρ οὐ *V'*, sed semel delet. οἱ inserui ϊοῦδαν *V* 30 τριάκοντα ex τριακόσια *V'* 32 ϊοῦδα *V* ὀφελησε *VV'* (sed *V'* corr. ὠφ.) 34 ὀδηγοῦσι *V* cum spir. l.

πρὸς θεατὰς τοσοῦτον ἐπαινέθη, ὅσον τῶν ὑποφωνήσεων τοῦ διδασκάλου σπουδαίως ἐμέμνητο. ὡς δὲ ἤμελλεν πρὸς τοῖς τελευταίοις φθάνειν τοῦ δρόμου, ὅτε καὶ τὸν στέφανον λαμπρὸν παρὰ τοῦ σωτῆρος ἐπὶ τῇ νίκῃ κομίζεσθαι, ᾔτησεν καιρὸν βραχὺ παρὰ τοῦ τυράννου δοθῆναι αὐτῷ πρὸς ἐπίσκεψιν καὶ μετάμελον. εἰπόντος δὲ τοῦτο τοῦ Βίκτορος εὐθέως οἱ βασανίζοντες αὐτὸν τοῦ μαστίζειν ἐπαύσαντο, νομίζοντες αὐτὸν ἤδη ἀρνησάμενον τὴν εὐσέβειαν. ὁ μὲν οὖν Βίκτωρ ἐν τῷ δεσμωτηρίῳ ἀπέθανεν ταῖς μάστιξιν ἀμφίβολον καταστήσας τοῦ μαρτυρίου τὴν ἔκβασιν, ὅθεν καὶ τὰ τῆς μνήμης αὐτοῦ ἀμφίβολα μέχρι δεῦρο γεγένηται.

F. 85v 10. *Καὶ ἕτερον δὲ τοῦ μάρτυρος | ὑμῖν ἀγώνισμα διηγήσομαι. Μαλός ἐστι χωρίον τῆς πόλεως ἀπῳκισμένον σημείων μικροῦ πρὸς τεσσαράκοντα. εἰς τοῦτο τὸ χωρίον παρεγένετο ὁ μάρτυς κατὰ συγκυρίαν τινά, κατὰ τὸν καιρὸν τοῦ διωγμοῦ, ὅτε... τοῦ ἁγίου καὶ ἐνδόξου μάρτυρος Οὐάλεντος τοῦ ἐν * Μηδικῶσιν * διὰ πολλῶν ἐλθόντος μαστίγων καὶ τὸ τελευταῖον διὰ πυρὸς εἰς συστροφὰς ὑδάτων Ἅλυος καταβληθῆναι τὰ λείψανα καὶ ταῦτα ἀνείλατο ὁ τοῦ Χριστοῦ μάρτυς Θεόδοτος. παρεγένετο οὖν οὐκ εἰς αὐτὸ τὸ χωρίον, ἀλλ' ὀλίγον τι κατωτέρω ἐπὶ σκοπιάν τινα, πρὸς τὸ ἀνατολικὸν μέρος ἀποβλέπων, ἀφ' οὗ τὸ ῥεῦμα τοῦ Ἅλυος καταπτύεται. τὸ δὲ μεταξὺ διάστημα τοῦ τε χωρίου καὶ τοῦ τόπου ἴσως εἰσὶ δύο που στάδιοι. κατὰ δὲ θείαν πρόνοιαν συνέβη ἀδελφοὺς αὐτόθι τινὰς αὐτῷ περιτυγχάνοντας ἀσπάσασθαι καὶ πολλαῖς αὐτὸν εὐχαριστίαις ἠμείβοντο ὡσάτε κοινὸν αὐτὸν εὐεργέτην ὑπάρχοντα τῶν θλιβομένων, ὑπεμίμνησκόν τε αὐτὸν τῆς εἰς αὐτοὺς εὐποιΐας, ἦσαν γὰρ οὐ πρὸ πολλοῦ χρόνου ὑπὸ συγγενῶν ἰδίων κατενεχθέντες ἐν τῇ πόλει καὶ κατεσπουδάζοντο πρὸς τιμωρίαν παραδοθῆναι τοῖς ἄρχουσιν διὰ τὸ καταστρέψαι βωμὸν τῆς Ἀρτέμιδος. τούτους ὁ δίκαιος περιδρομαῖς παντοίαις καὶ χρημάτων δόσεσιν μόλις ἦν ἐκ τῶν δεσμῶν ῥυσάμενος· ὧν δὴ καὶ τότε τὴν συντυχίαν πολὺ κέρδος νομίσας, ἠξίου σὺν αὐτῷ εὐοχηθέντας οὕτως ἔχεσθαι τῆς πορείας.*

11. *Κατακλιθέντων δὲ αὐτῶν ἐπὶ τὴν χλόην (ἦν γὰρ περὶ τὸν τόπον* F. 86 *χόρτος | πολὺς καὶ δένδρα ἑστῶτα ἀρκεύθινα καὶ βοράτινα, εἶχεν δὲ καὶ παντοίαν εὐωδίαν ἀπὸ τῶν ἀνθέων ὁ τόπος, τεττίγων τε καὶ ἀηδόνων ᾄσματα περὶ τὸν ὄρθρον ἐγίνοντο σύμφωνα καὶ πάντων ὀρνέων ᾠδαὶ καὶ ἁπλῶς πάντων ἦν πλήρης τὸ ὄρος, οἷς ἡ φύσις τερπνοῖς τὴν ἐρημίαν ἐκόσμησεν) ἐνταῦθα δὴ κατακλιθέντες ἐπὶ τῷ χλορῷ, ἔπεμψεν εἰς τὴν κώμην τῶν ἑταίρων τινὰς ὁ μάρτυς ἐπὶ τῷ πρεσβύτερον αὐτῷ καλέσαι, ὃς παρα-*

[4] βραχὺ *VV'* (cf. p. 64 lin. 29 πολὺ κάματον) [7] εὐσέβειαν ex ἀσέβ. m., ut vid., l *V* [13] post ὅτε hiatum notavi, v. supplendum vid. συνέβη οὐάλεντοσ *V'*; οὐάλλεντοσ *V* [15] ἅλυοσ *VV'* et sic lin. 18 [15-16] ἀνήλατο *VV'* [17] ἀνατολ. corr. in *V'* ex ἀναστολ. [19] ποῦ suprascr. *V* στάδιοι corr. ex σταδίοι *V* [21] εὐχαριστείαισ *V* [24-25] παραδωθῆναι *VV'* (sed in *V'* ex παραδοθ.) [26] δώσεσιν *V*, sed corr. supra lin. δόσ.; δόσεσι *V'* [28] πορίασ *V* mutavit in πορείασ [30] ἀρκεύθηνα *V*; ἀρκεύθυνα *V'* [34] ἐκόσμισεν *V* [35] ἑτέρων *VV'* ἐπὶ τῶ *VV'*; fort. ἐπὶ τὸ (cf. p. 72 lin. 11).

γενόμενος ⟨τῆς τροφῆς⟩ μεταλάβοι ἅμα αὐτῷ καὶ ἀπιοῦσιν εὐχαῖς τούτους προπέμψοι, οὐ γὰρ μετελάμβανεν ὁ ὅσιος τροφῆς, εἰ μὴ ηὐλόγει πρεσβύτερος. ἐλθόντες οὖν οἱ πεμφθέντες εἰς τὸ χωρίον, περιτυγχάνουσι τῷ πρεσβυτέρῳ τῆς ἐκκλησίας ἐξερχομένῳ μετὰ τὴν προσευχὴν τῆς ἕκτης ὥρας, ὃς αὐτοῖς ὑπὸ κυνῶν ὀχλουμένοις ἐπιδραμὼν καὶ τοὺς κύνας ἀποσοβήσας, χαίρειν προσεῖπεν καί, Εἰ Χριστιανοί ἐστε, φησίν, ἔλθετε πρός με, ἵνα τῆς ἐν Χριστῷ ἀγάπης μεταδῶμεν ἀλλήλοις. οἱ δὲ εἶπον· Χριστιανοί ἐσμεν καὶ Χριστιανῶν ἐμπορευόμεθα συντυχίαις. ἐπὶ τούτοις ὁ πρεσβύτερος μειδιάσας πρὸς ἑαυτὸν ἔφη· Ὦ Φρόντον (τοῦτο γὰρ ἦν τῷ πρεσβυτέρῳ τὸ ὄνομα), πῶς ἀεὶ φανερῶς φαίνονταί μοι, φησίν, αἱ τῶν ὀνείρων ὀπτασίαι. τὸ δὲ φανέν μοι τῇ νυκτὶ ταύτῃ ἐνύπνιον ἐκπλήττει με· ἐθεώρουν γὰρ δύο ἄνδρας ὥσπερ ὑμᾶς λέγοντάς μοι θησαυρὸν τῇ πατρίδι F. 86v ἐνηνοχέναι. ἐπεὶ οὖν ὀφθέντας μοι ἄνδρας κατ᾽ὄναρ ὑμᾶς | αὐτοὺς τεθέαμαι, φέρε λοιπὸν καὶ τὸν θησαυρόν μοι ἀπόδοτε.

12. Οἱ δὲ ἄνδρες ἔφησαν ἀληθῶς τιμιώτερον θησαυροῦ παντὸς ἔχειν μεθ᾽ἑαυτοὺς τὸν μάρτυρα Θεόδοτον, Ὃν εἰ βουληθείης θεάσασθαι ἄνδρα ἐν εὐσεβείᾳ μεγάλῃ, ἀλλὰ δεῖξον ἡμῖν, πάτερ, τὸν τῆς κώμης πρεσβύτερον. καὶ ὁ πρεσβύτερος ἔφη· Ἄγωμεν, ἐγὼ γάρ εἰμι ὃν ζητεῖτε· ἀλλὰ βέλτιον αὐτὸν οἴκαδε σκύλαι, ἀπρεπὲς γάρ ἐστιν ὄντων ἐνταῦθα Χριστιανῶν ἐν νάπαις αὐλίζεσθαι. παραγενόμενος δὲ καὶ τὸν ἅγιον σὺν τοῖς ἀδελφοῖς ἀσπασάμενος, εἰς τὸν οἶκον παρεκάλει ἅμα τῶν συνόντων ἀδελφῶν παραγενέσθαι αὐτόν. ὁ δὲ οὐκ ἠνέσχετο διὰ τὸ σπεύδειν αὐτὸν καταλαβεῖν τὴν μητρόπολιν λέγων· Νῦν Χριστιανοῖς μέγας ἥπλωται σωτηρίας δρόμος, ἀλλ᾽ὥστε δὲ καὶ τοῖς ἀδελφοῖς ἐν ταῖς ἀνάγκαις δέον ἐπικουρεῖν. μετὰ δὲ τὸ μεταλαβεῖν αὐτοὺς τῆς τροφῆς ὁ ἀθλητὴς τοῦ Χριστοῦ πρὸς τὸν πρεσβύτερον μειδιάσας λέγει· Ὁποῖον ὁρῶ τὸν τόπον ἐπιτήδειον πρὸς ὑποδοχὴν ἁγίων λειψάνων. καὶ ἵνα τί ῥαθυμεῖς; καὶ ὁ πρεσβύτερος εἶπεν· Σὺ κάμε μοι ἐν οἷς ἐπιδέομαι, καὶ τότε μέμφου τῇ ῥαθυμίᾳ μου (ἔλεγεν δὲ περὶ κομίσεως ἁγίων λειψάνων). χρὴ γάρ, φησί, πρῶτον εὐτρεπίσαι τὰ λείψανα καὶ τότε τοῦ κτίσματος ἄρχεσθαι. καὶ ὁ μάρτυς εἶπεν· Ἡμέτερον οὖν ἐστιν σπουδάσαι, μᾶλλον δὲ τοῦ θεοῦ, παρασχεῖν σοι τὰ λείψανα, σὸν δὲ σπουδάσαι τὸν οἶκον οἰκοδομῆσαι. ἀλλὰ παρακέκλησο, F. 87 παπᾶ, μὴ ἀμελήσῃς τοῦ ἔργου, | ἀλλ᾽ὅσῃ δύναμίς σοί ἐστιν σπούδασον τὸ ἔργον τελειῶσαι, τάχιον γὰρ ἐλεύσεται τὰ λείψανα. εἰπόντος δὲ αὐτοῦ ταῦτα, περιείλατο τὸν δακτύλιον αὐτοῦ καὶ τῷ πρεσβυτέρῳ ἐπέδωκεν εἰπών· Ὁ κύριος ἔσται ἀναμέσον ἡμῶν μάρτυς, ὅτι ἐν τάχει αὐτὸς φροντίσει τὰ λείψανα (λέγων ἢ ἄλλον πέμπειν ἢ αὐτὸν ἔρχεσθαι, ἔσπευδεν

[1] τῆς τροφῆς inserui, cl. linn. 2. 25 [5] ὀχλουμένουσ VV' [6] Εἰ: οἱ V' [9] μειδιάσασ corr. V ex μιδ [25] μεταλαβεῖν: V μετα, quod omiserat, in marg. adiecit [28] εἶπε V' [29] κομήσεωσ VV' scripserat V' πρότερον, postea corr. in marg. πρῶτον [34] τελιῶσαι V' τάχειον VV', sed in V' suprascrib. ι [36] ἡμῶν: ὑμῶν V'.

γὰρ τάχιον τὸν δρόμον τῆς ἀθλήσεως τελέσαι). ταῦτα συνθέμενος ἐκ τῆς Μαλοῦ ἀνεχώρησεν καὶ κατέλαβεν τὴν πόλιν ὡς ὑπὸ σεισμοῦ τὰ πάντα συστρεφόμενα.

13. *Ἦσαν δέ τινες παρθένοι τὸν ἀριθμὸν ἑπτὰ ἐκ νεαρᾶς ἡλικίας ἀσκούμεναι, αἵτινες τὴν σωφροσύνην πρὸ πάντων τιμήσασαι καὶ τὸν φόβον τοῦ θεοῦ πρὸ ὀφθαλμῶν ἔχουσαι. αὗται συνελήφθησαν ὑπὸ τοῦ ἀσεβεστάτου τυράννου, ὃς πολλὰς βασάνους αὐταῖς ἐπαγαγὼν καὶ μὴ πείσας αὐτὰς ἀσεβῆσαι, τέλος ὑπερζέσας τῷ θυμῷ ἐκέλευσεν ἀκολάστοις νέοις παραδοθῆναι ταύτας εἰς φθοράν, ὑβρίζων ὁ ἀσεβὴς τὴν εὐσέβειαν. παρεπέμφθησαν οὖν νέοις τῇ ἀσωτίᾳ πρὸς ὕβριν, ὡς ἔφην. στενάξασαι δὲ πικρῶς καὶ μετὰ δακρύων τὰς χεῖρας εἰς τὸν οὐρανὸν ἐκτείνασαι εἶπον· Δέσποτα κύριε Ἰησοῦ Χριστέ, ἕως μὲν ἡμέτερον ἦν φυλάττειν τὴν παρθενίαν ἡμῶν ἄσπιλον, οἶδας, δέσποτα, πῶς μετὰ πάσης σπουδῆς καὶ προθυμίας ταύτην μέχρι τῆς σήμερον ἐφυλάξαμεν ἀκαταγνώστως· νυνὶ δὲ ἀκόλαστοι τὰ σώματα ἡμῶν ἔλαβον πρὸς ἐξουσίαν. καὶ ἕτερα δὲ πλείονα* F. 87v *μετὰ δακρύων αὐτῶν προσευξαμένων, τὴν πρεσβυτέραν αὐτῶν Τέκουσαν | τὸ ὄνομα καλουμένην παρέλαβεν εἷς τῶν νεωτέρων κατ' ἰδίαν, ὁ δοκῶν ἀκολαστότατος αὐτῶν. ἡ δὲ λαβομένη τῶν ποδῶν αὐτοῦ λέγει αὐτῷ μετὰ δακρύων· Ὦ τέκνον, ποῖον ὑμῖν ἐξ ἡμῶν ἔσται τὸ ὄφελος, ἢ ποίας τέρψεως ἢ ἡδονῆς τῆς ἐξ ἡμῶν, εἰ σώμασι συγγένησθε ἀπὸ κακουχίας καὶ γήρους καὶ νηστείας καὶ νόσου καὶ βασάνων, ὡς ὁρᾶτε, πολλῶν δεδαπανημένοις; πλείω γὰρ τῶν ἑβδομήκοντα ἐτῶν ὁ τῆς ζωῆς ἡμῶν χρόνος παρέδραμεν καὶ αἱ λοιπαὶ δὲ τῶν αὐτῶν ὑπάρχουσι χρόνων. ἀτερπὲς οὖν ὑμῖν ἐστιν ἐρασθῆναι σωμάτων ὡς εἰπεῖν νεκρῶν, ἃ μετὰ μικρὸν ὄψεσθε ὑπὸ κυνῶν καὶ ὀρνέων ἀναλισκόμενα, τοῦτο γὰρ ὁ ἡγεμὼν ἔφησεν, μηδὲ ταφῆς μετὰ θάνατον ἀξιωθῆναι ἡμᾶς. ἔχετε οὖν τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν χάριτας ἀποδιδοῦντα ὑμῖν μεγάλας ὑπὲρ ἡμῶν. ταῦτα ἡ πρεσβυτέρα φθεγξαμένη πρὸς τὸν νέον μετὰ δακρύων καὶ τὸ περίδεμα βραχὺ ἀνασύρασα, τὰς πολιὰς τῆς κεφαλῆς ἐδείκνυεν λέγουσα αὐτῷ· Ὦ τέκνον, αἰδέσθητι ταῦτα· ἴσως καὶ σὺ πολιὰν μητέρα ἔχεις, ἥνπερ ἀντὶ ἡμῶν εἰς δυσώπησιν ἄγομεν, εἴτε περίεστιν εἴτε καὶ τέθνηκεν· ἡμῶν τῶν ἀθλίων νόμισον εἶναι τὰ δάκρυα... τὴν δὲ ἀμοιβὴν τῆς χάριτος ἔλπιζε ἀπολαβεῖν παρὰ τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, οὐ γάρ ἐστιν ἡμῖν διάκενος ἡ εἰς αὐτὸν ἐλπίς. ταῦτα τῆς ἁγίας Τεκούσης εἰπούσης εὐθέως οἱ νεανίσκοι*

2 *ἀνεχώρησε* V' 2-3 causa non est cur orationem ante *ὡς ὑπὸ-συστρεφόμενα* hiatu laborare suspicemur 6 *ὀφθαλμὸν* V' 9 *(ἀσ)εβῆσ* V cum rasura; scribere coeperat *ἄρ* (scil. *ἄρχων*) post *ἀσωτίᾳ* (V ex *ἀσωτείᾳ*) excidit, ni fallor, *διεφθαρμένοις* (cf. p. 55) 15 *ἔλαβον* add. V in marg. 19-20 *ἢ ποίας κτλ.* subaudi *ἔσται ὑμῖν ὄφελος* 21-22 *δαδαπανημένοισ* V 23 in V ante *ὑπάρχ.* *ὁ* lineola delet. 24 *μικρῶν* V' 31 *ἄγωμεν* VV', sed in V superscr. o 32 post *δάκρυα* librarium v. haec fere *τῆς μητρός σου δάκρυα* omisisse puto homoioteleuto deceptum 34 *εὐθέως* add. V in marg.

τῆς μὲν ἐρωτικῆς ἀπέστησαν μανίας, πλεῖστα δὲ δακρύσαντες ἐπὶ τῇ τῶν παρθένων συμπαθείᾳ ἀνεχώρουν.

14. *Ταῦτα ἀκούσας ὁ Θεότεκνος καὶ γνοὺς ὅτι οὐκ ἐφθάρησαν αἱ* F. 88 *παρθένοι, ἐνοχληθῆναι | μὲν αὐτὰς αἰσχρᾶς ἕνεκεν ἡδονῆς οὐκ ἐπέτρεψεν, ἐκέλευσεν δὲ αὐτὰς τῆς Ἀρτέμιδος καὶ τῆς Ἀθηνᾶς ἱερείας γενέσθαι. οὔσης δὲ συνηθείας αὐτοῖς ἐν τῇ πλησίον λίμνῃ κατὰ ἔτος λούειν τὰ ξόανα, ἦν δὲ κατ᾽αὐτὴν τὴν ἡμέραν αὐτοῖς τῆς ἀπολούσεως ὁ καιρὸς καὶ τῶν εἰδώλων. ἐχρῆν οὖν ἕκαστον αὐτῶν ἐπ᾽ὀχήματι ἐπιτίθεσθαι. ἐκέλευσεν γοῦν καὶ τὰς παρθένους ἐπὶ τὴν λίμνην ἀπάγεσθαι, ὀφειλούσας καὶ αὐτὰς λούσασθαι μετὰ τῶν ξοάνων κατὰ τὸ ἴσον σχῆμα. ἦγον οὖν αὐτὰς διὰ μέσου τῆς πόλεως γεγυμνωμένας τοῖς σώμασιν, ὀρθὰς ἑστώσας ἐπὶ τοῖς ὀχήμασιν πρὸς ἀσχημοσύνην καὶ χλεύην. ἤγοντο δὲ καὶ τὰ ξόανα ὄπισθεν ὀλίγον τῶν παρθένων προηγουμένων. συνεξῆλθεν δὲ καὶ τὸ πλῆθος τῆς πόλεως πάσης ἐπὶ τῇ θεωρίᾳ τῶν γινομένων, αὐλῶν γὰρ καὶ κυμβάλων ἦχος ἐθεωρεῖτο καὶ γυναικῶν ὀρχισμοὶ λελυμένους ἐχουσῶν τοὺς πλοκάμους ὥσπερ μαινάδες, καὶ κτύπος ἀπὸ τῶν ποδῶν ἐγίνετο πολὺς κατακρουόντων τὸ ἔδαφος, καὶ πολλὰ δὲ μουσικὰ μεθ᾽ἑαυτῶν εἶχον. καὶ οὕτως ἀπῆγον τὰ ξόανα, καὶ διὰ ταῦτα μὲν πολὺ πλῆθος τῆς πόλεως συνέδραμεν, πολλῷ δὲ πλέον διὰ τὸ πάθος τῶν παρθένων, τῶν μὲν οἰκτειρούντων αὐτῶν τὸ γῆρας, τινῶν δὲ ἐκπληττομένων τὴν καρτερίαν, οἱ δὲ ἀνευφήμουν τὸ κόσμιον, καὶ ἁπλῶς πάντες οἱ θεωροῦντες αὐτὰς ὑπὸ τῶν μαστίγων καταπεπονημένας ἐδάκρυον. συνεξῆλθεν δὲ τούτοις καὶ τὸ γέννημα τοῦ δράκοντος, Θεότεκνος ὁ ἡγεμών.*

F. 88v 15. *Ὁ δὲ τίμιος μάρτυς τοῦ θεοῦ Θεόδοτος | ἐν πολλῇ ἦν ἀθυμίᾳ δεδιὼς ὑπὲρ ἑκάστης τῶν παρθένων μή, ὅπερ ἀπὸ γυναικὸς ἦν ὑποπτεῦσαι, ὑποσυρῇ τις αὐτῶν πρὸς τοὺς κινδύνους ὀκλάσασα. πολλὰς οὖν δεήσεις ὑπὲρ αὐτῶν πρὸς τὸν θεὸν ἀνέπεμψεν συνεργῆσαι αὐταῖς πρὸς τὴν ἄθλησιν τοῦ καλοῦ. ἦν δὲ ἑαυτὸν ἐν δωματίῳ κατακρύψας μικρῷ πλησίον τοῦ μαρτυρίου τῶν πατριαρχῶν πενιχροῦ τινος Θεοχαρίδους καλουμένου, συνόντος αὐτῷ καὶ Πολυχρονίου ἀνεψιοῦ Τεκούσης τῆς μάρτυρος τυγχάνοντος καὶ ἄλλου Θεοδότου μικροῦ ἀνεψιᾶς τοῦ μάρτυρος υἱοῦ. συνῆσαν δὲ αὐτῷ καὶ ἄλλοι Χριστιανοὶ ἐν τῷ κελλίῳ. πεσὼν οὖν εἰς προσευχὴν ἐπὶ πρόσωπον σὺν τοῖς συνοῦσιν αὐτῷ, ἀπὸ πρωῒ ἕως ὥρας ἕκτης διεκαρτέρει ἐν τῇ δεήσει. περὶ δὲ ὥραν ἕκτην εἰσελθὸν τὸ γύναιον τοῦ Θεοχαρίδους ἀπήγγειλεν τῶν παρθένων ἐν τῷ βυθῷ καταπεποντῶσθαι τὰ σώματα. τότε δὴ*

3 *Ταῦτα*: *Τα V'* 5 *ἐκέλευσε V'* *ὄσσησ V*; *ὄσησ V'*; corr. Papebr. 6 *λίμνῃ* ex *λύμνῃ V'* supra lin. 7 *αὐτοῖσ* add. *V* supra lin. 8 *ἐκέλευσε V'* *γ᾽οὖν V* 11 *ἑστώσασ V* 15 *λελουμένων VV'*, corrigebam 16 *μενάδεσ VV'* 17 *ἀπεῖγον VV'*, sed in *V* corr. *ἀπῆγον* 18 *συνέδραμε V* 22 *συνεξῆλθε V'* 25 *ὑπὸ | πτεῦσαι V* cum duobus accentibus 26 *ὑποσυρεῖ τίσ VV'* 27 *ἀνέπεμψε V'* 34 *εἰσελθὼν VV'* 34–35 *ἀπήγγειλε V'*.

οὖν ὁ δίκαιος ἀκούσας, ἑαυτὸν ὀλίγον ἐπάρας ἀπὸ τοῦ ἐδάφους, ὡς ἦν ἐπὶ τῶν γονάτων εἰς τὸν οὐρανὸν τὰς χεῖρας ἀνέτεινεν καὶ τῇ ῥύσει τῶν δακρύων προσέχων εἶπεν· Εὐχαριστῶ σοι, δέσποτα, ὅτι τὴν τούτων μου τῶν δακρύων οὐκ ἐματαίωσας ἔκχυσιν. ταῦτα εἰπὼν ἐπυνθάνετο παρὰ τῆς γυναικὸς πῶς καὶ τίνα τρόπον τῶν παρθένων καταβεβυθίσθαι τὰ σώματα καὶ ἐν ποίῳ τόπῳ τῆς λίμνης, παρὰ τὸ τεῖχος ἢ εἰς αὐτὸ τὸ μέσον. ἡ δὲ F. 89 *ἔφησεν τὸν τόπον, ἦν γὰρ καὶ αὐτὴ ἅμα ἑτέρων γυναικῶν ἐξελθοῦσα | ἐπὶ τὴν λίμνην. ἔλεγεν οὖν ὡς ὁ Θεότεκνος πολλὰ παρακαλέσας δι' ἑαυτοῦ καὶ ὑπισχνούμενος πολλὰ εἰ πεισθεῖεν αὐτῷ, ἡ ἁγία Τέκουσα ὑβρίσασα αὐτὸν ἀπέπεμψεν. αἱ δὲ ἱέρειαι τῆς Ἀθηνᾶς καὶ τῆς Ἀρτέμιδος στεφάνους προσέφερον αὐταῖς καὶ λευκὴν ἐσθῆτα ὀφειλούσας καὶ αὐτὰς ἱερατεῦσαι τοῖς δαίμοσιν. καὶ ταύτας δὲ ὑβρίσασαι ἀπέπεμψαν. τότε ἐκέλευσεν ὁ ἡγεμὼν λίθους κρεμασθῆναι ἐν τοῖς τραχήλοις αὐτῶν... καὶ πλοιαρίῳ μικρῷ ἐμβιβάσαντες ἐνέβαλον εἰς τὸ τῆς λίμνης βάθος, ὡς ἀπὸ δύο πλέθρων εἰσάγοντες ἐνδοτέρω.*

16. *Ταῦτα ἀκούσας ὁ μάρτυς ἔμεινεν μέχρις ἑσπέρας αὐτόθι, σκεπτόμενος ἅμα τῷ Πολυχρονίῳ καὶ τῷ Θεοχαρίδει εἰ δυνηθεῖεν ἀπὸ τῆς λίμνης ἀνακομίσαι τὰ σώματα. σκεπτομένων δὲ αὐτῶν περὶ δυσμὰς ἡλίου νεανίσκος τις λέγει αὐτοῖς ὅτι στρατιώτας ὁ Θεότεκνος ἐκέλευσεν παραμένειν τῇ λίμνῃ φυλάττοντας τὰ σώματα. ταῦτα ἀκούσας ὁ μάρτυς εἰς ἀθυμίαν κατηνέχθη, οὐ γὰρ εὐχερὲς ἦν τοῦ ἀνακομίσαι τὰ σώματα διὰ τοὺς τῇ λίμνῃ παραμένοντας στρατιώτας καὶ διὰ τὸ τοὺς λίθους εἶναι βαρεῖς, ὧν ἕκαστον αὐτῶν οὐκ ἂν κινήσειεν ἅμαξα. ἑσπέρας δὲ καταλαβούσης οἱ μὲν συνόντες τῷ ὁσίῳ ἔμενον ἔνδον, αὐτὸς δὲ προσελθὼν ἔρχεται εἰς τὸ τῶν πατριαρχῶν μαρτύριον, ὅπερ οἱ ἀσεβεῖς ἀνέφραξαν, ὅπως μηδεὶς τῶν Χριστιανῶν εἰσέλθῃ. ἔξωθεν οὖν παρὰ τὴν κόγχην πεσὼν ἐπὶ πολὺ τῇ προσευχῇ* F. 89v *προσ|εκαρτέρει. ἀναστὰς δὲ ἐκεῖθεν ἔρχεται εἰς τὸ τῶν πατέρων μαρτύριον, ὅπερ καὶ αὐτοὶ οἱ ἀσεβεῖς ἀνέφραξαν. ὁμοίως δὲ κἀκεῖ πεσὼν προσηύξατο. αἰσθόμενος δὲ πολλοῦ θορύβου καὶ νομίσας ἐπιτρέχειν τινὰς αὐτῷ, ἀναχωρήσας ὑπέστρεφεν εἰς τὸ τοῦ Θεοχαρίδους καταγώγιον. ὑπνώσαντος δὲ αὐτοῦ ὀλίγον, φαίνεται αὐτῷ ἡ ἁγία Τέκουσα καθ' ὕπνον λέγουσα· Κοιμᾶσαι, τέκνον Θεόδοτε, καὶ περὶ ἡμῶν οὐδείς σοι λόγος γεγένηται καὶ οὔτε τῶν παραινέσεων μέμνησαι, ὧνπερ νέῳ ὄντι παρῄνεσα καὶ παρὰ γνώμην τῶν γονέων πρὸς ἄσκησιν ἐχειραγώγησά σε. καὶ ζώσης μέν μου οὐκ*

4 ἐπυνθάνατε *V'* 5 καταβεβιθίσθαι *V'* 6 λύμνησ *V'* αὐτὸ: αὐτὸν *V*, sed ν lineola delet. 8 καὶ καὶ *V*, sed semel punctis adscriptis delet. 10 ἴερεῖαι *VV'* 11 αἰσθῆτα *V'* αὐτὰσ corr. *V'* ex αὐταῖσ 13 τραχείλοισ *V* post αὐτῶν desideratur, nisi fallor, καὶ καταβυθισθῆναι ἐν τῇ λίμνῃ 13–14 ἐμβηβάσαντεσ *VV'* 16–17 σκεπτόμενος correxi; σκεπόμ. *VV'* 17 θεοχαρίδει corr. *V* ex θεοχαρίδι; θεοχαρίιδι *V'* λύμνησ *V'* 19 ἐκέλευσε *V'* 21 λύμνῃ *V'* 23 ἅμαξα cum spir. l. *V* 24 προελθὼν *V'* 29 ἐσθόμενοσ *VV'*.

ἠμέλεις, ἀλλ᾽ὡς μητέρα ἐθεράπευες· νυνὶ δὲ τελειωθείσης ἐπελάθου ὅτι ἐχρῆν τελείως θεραπεῦσαί με. μὴ οὖν περιόψῃ τὰ σώματα ἡμῶν ἐν τῷ ὕδατι βορρὰν ἰχθύων γενέσθαι. καὶ σὲ δὲ αὐτὸν μετὰ δύο ἡμέρας μέγας ἀγὼν ἀπεκδέχεται. ἀναστὰς οὖν ἐπὶ τὴν λίμνην ἐλθέ, φύλαξον δὲ σεαυτὸν ἀπὸ τοῦ προδότου. καὶ ταῦτα εἰποῦσα ἀνεχώρησεν.

17. Ἀναστὰς οὖν ἀπὸ τοῦ ὕπνου διηγήσατο τοῖς ἀδελφοῖς τὴν φανεῖσαν αὐτῷ ὀπτασίαν· πάντες δὲ συνεπάθησαν καὶ μετὰ δακρύων προσηύξαντο αἰτούμενοι τὸν θεὸν τῆς τῶν σωμάτων ἀνευρέσεως βοηθόν. ἡμέρας οὖν γενομένης τὸν νεανίαν τὸν ἀναγγείλαντα αὐτοῖς ὅτι στρατιῶται παραμένουσι τῇ λίμνῃ φυλάσσοντες τὰ σώματα τῶν ἁγίων (ἦν γὰρ καὶ αὐτὸς Χριστιανός) σὺν τῷ Θεοχαρίδει ἀποστέλλουσιν ἐπὶ τὸ μαθεῖν περὶ F. 90 τῶν στρατιωτῶν | ἀκριβέστερον, ὑπελάμβανον γὰρ αὐτοὺς ἀνακεχωρηκέναι διὰ τὴν ἑορτὴν ἥνπερ ἐπετέλουν οἱ ἀσεβεῖς τῇ Ἀρτέμιδι. ἐλθόντες δὲ οἱ περὶ τὸν Θεοχαρίδη καὶ Γλυκέριον (τοῦτο γὰρ ἦν τοῦ νεανίσκου τὸ ὄνομα) ἀπήγγειλαν παραμένειν αὐτούς. ἑσπέρας δὲ καταλαβούσης ἐξώρμησαν ἐπὶ τὴν λίμνην ἄσιτοι, δρεπάνας δὲ μεθ᾽ἑαυτῶν ἔλαβον ἠκονημένας, ὅπως τοὺς σχοίνους ἀπὸ τῶν τραχήλων ἀποτέμωσι τῶν παρθένων ἐν τῷ βυθῷ καταβάντες. μήτε δὲ σελήνης μήτε ἀστέρων ἐπιφαινόντων συνέβη σκοτίαν οὐ τὴν τυχοῦσαν γενέσθαι. γενομένων δὲ αὐτῶν ἐν τῷ τόπῳ ἔνθα οἱ κακοῦργοι ἐκολάζοντο, ἐν ᾧ οὐδεὶς ἐτόλμα μετὰ δύσιν ἡλίου παραγενέσθαι διὰ τὸ φοβερὸν εἶναι αὐτόν (ἐκεῖ γὰρ ἀπετέμνοντο τὰς κεφαλὰς καὶ ἀνεσκολοπίζοντο καὶ πυρὶ ἐκαίοντο), γενόμενοι οὖν ἐνταῦθα καὶ φόβῳ συσχεθέντες, φωνὴν ἤκουσαν λέγουσαν· Θαρρῶν ἐλθέ, Θεόδοτε. ἐμφόβων δὲ γενομένων αὐτῶν καὶ τοῦ σταυροῦ τοῦ Χριστοῦ τὸ σημεῖον ἑκάστου κατὰ τοῦ μετώπου χαράξαντος, ἐπεφάνη αὐτοῖς ὁ σταυρὸς φανερῶς, καὶ ἔδοξαν ὁρᾶν ὡς ἐκ τοῦ ἀνατολικοῦ μέρους πυρὸς ἀστραπὴν ἐνεχθῆναι. ἐκπλαγέντες δὲ καὶ περιχαρεῖς γενόμενοι τῇ τοῦ σταυροῦ ἐπιφανείᾳ, ἔκλιναν γόνυ αὐτόθι προσεύξασθαι κατὰ τοῦ τόπου ἔνθα ὁ σταυρὸς αὐτοῖς ἐπεφάνη. ἀναστάντες οὖν ἀπὸ τῆς προσευχῆς, πάλιν ἐπὶ τὴν ὁδὸν ὥρμησαν. διὰ δὲ τὸ πολλὴν γενέσθαι σκοτίαν οὐκέτι ἀλλήλους ἔβλεπον· ὑετοῦ δὲ ἐπιγενο- F. 90v μένου μεγίστου, συνέβη καὶ πηλὸν γενέσθαι πολύν, ὅστις | ὄλισθον παρεῖχεν αὐτοῖς, ὥστε μόλις τὸν πόδα ἐρεῖσαι πρὸς τὴν πρόσω πορείαν. πολὺν δὲ αὐτοῖς κάματον καὶ φόβον παρεῖχεν τὸ ἐπιγενάμενον σκότος. ἔστησαν δὲ πάλιν εἰς προσευχήν, τὸν θεὸν εἰς βοήθειαν αἰτοῦντες τῆς ἀνάγκης. ἐξαίφνης δὲ ἐφάνη αὐτοῖς λαμπὰς πυρὸς δεικνύουσα τὴν ὁδόν. ἐφάνησαν δὲ αὐτοῖς καὶ δύο ἄνδρες λαμπρὰς ἠμφιεσμένοι στολάς, πολιοὶ τὴν κεφαλὴν καὶ τὸν πώγωνα λέγοντες· Θάρσει, Θεόδοτε, ὁ γὰρ κύριος Ἰησοῦς

[10] ἦν V'; ἦν V [11] θεοχαρΐδι V; θεοχάριδι V' [13] ἑορτὴν sic cum spiritu l. V [14] τὸν θεοχαρίδι V; τὸν θεοχάριδι V' fors. τῷ νεανίσκῳ (cf. p. 68 lin. 9-10) [16] ἄσιτοι VV': an ἄσειστοι? ἠκονημένας cum ι supra η V' [17] τραχείλων V [18] συνέβη ex συνέβει V [21-22] ἀνεσκολωπίζοντο V [25] ἐπεφάνει V [28] ante προσεύξ. addend. πρὸς τὸ, aut scribend. πρὸς ⟨τὸ⟩ εὔξ. [31] καὶ infra lin. add. V [34] εἰσ βοήθ. add. V in marg.

ἔγραψεν τὸ ὄνομά σου μετὰ τῶν μαρτύρων, ἤκουσε γὰρ τῆς ἐν δάκρυσι προσευχῆς σου, ὧν ἐξέχεας ἕνεκα τῆς τῶν σωμάτων ἀνευρέσεως. ἀπεστάλμεθα δὲ παρὰ τοῦ δεσπότου Χριστοῦ συναντιλαβέσθαι σοι, ἐσμὲν δὲ ἡμεῖς οἱ λεγόμενοι πατέρες. γενόμενος δὲ ἐπὶ τῆς λίμνης θεάσῃ τὸν ἅγιον Σώσανδρον ἔνοπλον πολὺν παρέχοντα φόβον τοῖς φυλάσσουσιν. οὐκ ὤφειλες δὲ μετά σου ἐπάγεσθαι τὸν προδότην.

19. *Ἀκολουθοῦντες οὖν τῷ φανέντι αὐτοῖς φωτὶ παρεγένοντο ἐν τῇ λίμνῃ, παρέμεινεν δὲ αὐτοῖς τὸ φῶς μέχρις οὗ ἀνεκόμισαν τὰ ἅγια λείψανα. ἀστραπῶν δὲ ἐπιγενομένων πολλῶν καὶ βροντῶν καὶ ὑετῶν καὶ ἀνέμων καταρραγέντων σφοδρῶν καὶ προσπεσόντων... ὥστε τοὺς στρατιώτας φυγῇ χρήσασθαι τοὺς φυλάσσοντας τὰ σώματα. οὐ γὰρ μόνον διὰ τὸν χειμῶνα τοῦ ὑετοῦ καὶ τῆς χαλάζης ἔφυγον, ἀλλὰ καὶ ὀπτασίαν εἶδον, ἄνδρα ὑπερμεγέθη ὡπλισμένον, ἔχοντα ἀσπίδα καὶ θώρακα καὶ περικεφαλαίαν καὶ* F. 91 *δόρυ, ἅτινα ἔλαμπον | ὥσπερ πῦρ. οὗτος δὲ ἦν ὁ ἅγιος καὶ πανένδοξος μάρτυς Σώσανδρος. τοῦτον ἰδόντες οἱ φυλάσσοντες ἔφυγον εἰς τὰς ἐγγὺς καλύβας, τὸ δὲ ὕδωρ ὑπὸ τοῦ σφοδροτάτου ἀνέμου ἔφυγεν εἰς τὸν αἰγιαλὸν τὸν ἀντιπέρα, ὥστε τὸ ἔδαφος τῆς λίμνης ξηρὸν φανῆναι καὶ τὰ τῶν παρθένων λείψανα θεωρηθῆναι. ἀπέκοψαν δὲ τὰ σχοινία ταῖς δρεπάναις καὶ οὕτως ἀνελόμενοι τὰ λείψανα, ἐπέθηκαν ὑποζυγίοις. κομίσαντες οὖν αὐτὰ ἔθαψαν ἐν μνημείῳ πλησίον τῶν πατριαρχῶν. τὰ δὲ ὀνόματα τῶν παρθένων ἐστὶν ταῦτα· Τέκουσα, Ἀλεξάνδρεια, Φαεινή (ταύτας οἱ ἀποτακτῆται λέγουσιν ἰδίας εἶναι, κατὰ ἀλήθειαν δὲ... εἰσιν), Κλαυδία, Εὐφρασία, Ματρῶνα καὶ Ἰουλίττα.*

20. *Ἡμέρας δὲ γενομένης πᾶσα πόλις ἐφλέγετο ἐπὶ τῇ κλοπῇ τῶν σωμάτων, οὕτω γὰρ ἡ φήμη ταχέως πᾶσιν ἀπήγγειλεν. εὐθέως οὖν εἴ που ἐφαίνετο Χριστιανός, συνηρπάζετο. πλειόνων δὲ συλληφθέντων καὶ ὡς ὑπὸ θηρίων ἀγρίων ἀναλισκομένων, ἀπηγγέλη τῷ ὁσίῳ τὸ πρᾶγμα. ὁ δὲ βουλόμενος ἑαυτὸν παραδοῦναι ἐκωλύθη ὑπὸ τῶν ἀδελφῶν. ὁ δὲ Πολυχρόνιος ἀλλάξας τὸ σχῆμα καὶ εἰς ἄγροικον ἑαυτὸν ποιήσας, ἀπῆλθεν εἰς τὴν ἀγορὰν ὡς ὀφείλων πᾶσαν μαθεῖν τὴν ἀλήθειαν. ἀπελθόντος δὲ αὐτοῦ, συνελήφθη ὑπό τινων καὶ προσήχθη τῷ ἄρχοντι. ὡς δὲ ἐπήνεγκαν αὐτῷ πληγὰς καὶ ἔδειξαν αὐτῷ τὸ ξίφος γυμνὸν ἀπειλοῦντες τὸν θάνατον, φοβηθεὶς ὡμολόγησεν τὰ λείψανα* F. 91ᵛ *| τῶν παρθένων καὶ τὸν ἐκ τῆς λίμνης ἀνακομίσαντα αὐτὰ Θεόδοτον, καὶ τὸν τόπον δὲ κατεμήνυσεν αὐτοῖς, ἐν ᾧ ἔκρυψαν αὐτά. λαβόντες οὖν ἐκ τῶν θηκῶν τὰ ἅγια λείψανα, κατέκαυσαν*

[4] *ἡμεῖσ* cum *η* ex *οι* *V'* *θεάσει* *VV'* (sed *V* *ει* mutavit in *η*) [10] *σφοδρῶν*: malim *σφοδρῶς* post *προσπεσόντων* aliquid intercidisse apparet velut *τοσοῦτος ἐγένετο χειμών* [13] *ὁπλισμένον* *VV'* [13] *περικεφαλέαν* *V*; *περικεφαλαίαν* *V'*, sed suprascr. *ε* [17] *ἀντίπερα* *VV'* [22] post *δὲ* lacunam significavi; particulam excidisse *οὐκ* coniecit Tillemont, recte opinor (cf. p. 38 sq.) [25] *οὕτωσ* *V* sed cum *σ* delet. [27] *ἐπηγγέλει* *V*; *ἀπηγγέλλει* *V'* [30] *πᾶσα* *V'* [33] *λίμνησ* corr. in *V'* ex *λύμνησ* *ἀνακομήσαντα* *V*.

αὐτά. τότε ἔγνωμεν τὸν προδότην εἶναι τὸν Πολυχρόνιον, περὶ οὗ εἶπον οἱ φανέντες τῷ ἁγίῳ· Φυλάσσου τὸν προδότην. ἀπήγγειλαν δέ τινες τῷ μάρτυρι τὰ κατὰ τὸν Πολυχρόνιον καὶ ὅτι τὰ λείψανα τῶν παρθένων ἐκάησαν.

21. *Ὁ δὲ καλλίνικος τοῦ Χριστοῦ μάρτυς Θεόδοτος τοῖς ἀδελφοῖς συνταξάμενος, ἐντειλάμενος μὴ ἀμελεῖν τοῦ προσεύχεσθαι, ἀλλὰ τὸν θεὸν αἰτεῖσθαι ὑπὲρ αὐτοῦ τυχεῖν αὐτὸν τοῦ στεφάνου, καὶ ἑαυτὸν ἕτοιμον ἐποίει πρὸς τὰς μάστιγας. ἔστησαν οὖν εἰς προσευχὴν ἅμα τῷ μάρτυρι. ἐπὶ πολὺ δὲ εὐχόμενος ἔλεγεν· Κύριε Ἰησοῦ Χριστέ, ἡ ἐλπὶς τῶν ἀπελπισμένων, δός μοι τελείως τὸν τῆς ἀθλήσεως δραμεῖν δρόμον καὶ τὴν τοῦ ἐμοῦ αἵματος ἔκχυσιν ἀντὶ σπονδῆς καὶ θυσίας προσδέξασθαι ὑπὲρ πάντων τῶν διὰ σὲ θλιβομένων. τὸ βάρος αὐτοῖς ἐπικούφισον καὶ παῦσον τὸν χειμῶνα τοῦτον, ὅπως ἀνέσεως τύχωσιν καὶ γαλήνης βαθείας πάντες οἱ ἐπὶ σοὶ πεποιθότες. ταῦτα μετὰ δακρύων προσευξαμένου τοῦ μάρτυρος τῶν ἀδελφῶν πολὺς ἐγένετο θρῆνος μετὰ δακρύων ἀσπαζομένων αὐτὸν καὶ λεγόντων· Σώζου, ὦ γλυκὺς τῆς ἐκκλησίας φωστὴρ Θεόδοτε. ἀλλὰ σὲ μὲν μετὰ τὴν τῶν ἐντεῦθεν κακῶν ἀπαλλαγὴν οὐράνιοι φωστῆρες ἐκδέξονται,*
F. 92 *ἀγγέλων τε καὶ | ἀρχαγγέλων δόξαι διάφοροι καὶ πνεύματος ἁγίου δόξα ἀμύθητος καὶ ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐκ δεξιῶν τοῦ πατρὸς καθήμενος. τούτων γάρ σοι τῶν ἀγαθῶν ὁ καλλίνικος καὶ μέγας τοῦ μαρτυρίου πρόξενος ἔσται ἀγών. ἡμῖν δὲ τοῖς ἐν τῇ πλάνῃ οὐδὲν ἔσται ἕτερον ἢ θρῆνος καὶ κλαυθμὸς καὶ ὀδυρμὸς ἡ σὴ ἐκ τοῦ βίου μετάθεσις. τοιαῦτα τῶν ἀδελφῶν ὀδυρομένων ὁ ὅσιος ἕκαστον αὐτῶν ἀσπασάμενος, ἐκέλευσεν ἐπὶ μνήμης ἔχειν, εἴπερ παραγένηται ὁ παπᾶς Φρόντων ἀπὸ Μαλοῦ ἐπικομιζόμενος μεθ᾽ ἑαυτοῦ τὸν δακτύλιον, ἐκείνῳ δοθῆναι τὰ λείψανα, εἴπερ δυνηθεῖεν αὐτὰ ὑποκλέψαι. ταῦτα εἰπὼν καὶ τὸ σημεῖον τοῦ σταυροῦ ποιήσας καθ᾽ ὅλου τοῦ σώματος, ὥρμησεν ἀμεταστρεπτὶ ἐπὶ τὸν δρόμον.*

22. *Ἀπιόντι δὲ αὐτῷ δύο τινὲς συναντήσαντες τῶν πολιτῶν, ἐκέλευον ὑποστρέφειν συντόμως [τάχιον] λέγοντες· Σῶσον σεαυτόν. ἦσαν δὲ οὗτοι τῷ μάρτυρι γνώριμοι καὶ φίλοι, πάνυ νομίζοντες αὐτῷ χάριν παρέχειν. Οἵ τε γὰρ ἱερεῖς, φησίν, τῆς Ἀθηνᾶς καὶ τῆς Ἀρτέμιδος σὺν τοῖς ὄχλοις κατηγοροῦσίν σου ἐπὶ τοῦ ἄρχοντος, ὅτι πάντας Χριστιανοὺς ἀναπείθεις λίθοις ἀψύχοις μὴ προσέχειν, καὶ ἄλλα δὲ πολλὰ κατά σου λέγουσι καὶ τῆς κλοπῆς δὲ τῶν σωμάτων σὲ αἴτιον εἶναι ὁ Πολυχρόνιος λέγει. ὡς οὖν ἔστι καιρός, σῶζε σεαυτόν, ὦ Θεόδοτε, ἀναισθησίας γὰρ*

4 *ἔκαυσαν* V', sed in marg. corr. *ἐκάησαν* 9–10 augmentum verbo *ἀπελπισμένων* consulto non adhibui (cf. p. 67, 1; 80, lin. 1) 11 *σπονδῆσ* ex *σπονδεῖσ* V; *σπουδῆσ* V' 13 *τούτων* VV', sed V in *τοῦτον* immutavit 18 *δόξαι* add. in V supra lin. 1 m. 25 *τὰ λείψανα*: *ἑαυτοῦ* aut *ἴδια* subaudias, non addas 29 *τάχιον* (*τάχειον* V; *τάχυνον* V') inclusi 31 corrigas *φασίν*, sed cf. p. 81 lin. 32 et Krumbacher *Theodos.* p. 267 32 *κατηγοροῦσι* V' 33 *ἀλλὰ* V 35 *ὦ* add. V supra lin.

ἐστιν ἔργον τὸ ἑαυτὸν παραδοῦναι τιμωρίαις. καὶ ὁ μάρτυς ἔφη· Εἰ δοκεῖτε φίλοι εἶναι καὶ ἐμοὶ χάριν παρέχειν, ἄφετε μὴ ἀποκαμεῖν καὶ κατολιγωρῆσαι τοῦ πόθου, ἀλλὰ μᾶλλον εἰσελθόντες εἴπατε τοῖς ἄρχουσιν· Θεόδοτον ὃν κατηγοροῦσιν οἱ ἱερεῖς καὶ πᾶσα ἡ πόλις, πρὸ τῶν θυρῶν τοῦ πραιτωρίου ἕστηκεν. καὶ ταῦτα εἰπὼν ἔμπροσθεν αὐτῶν ἐπορεύετο, καὶ μελλόντων αὐτῶν κατηγορεῖν παρέστη. ἐκέλευσαν δὲ οἱ ἄρχοντες παραστῆναι αὐτόν. εἰσελθόντος δὲ αὐτοῦ ἐπὶ τοῦ βήματος παρέστη τεθαρρηκὼς καὶ μειδιῶντι τῷ προσώπῳ, μηδενὶ τῶν κολαστηρίων καταπλαγείς. ἦν γὰρ καὶ πῦρ ἀναπτόμενον καὶ λέβητες ὑποκαιόμενοι καὶ τροχοὶ καὶ ἕτερα εἴδη κολαστηρίων πολλὰ ηὐτρεπισμένα. ταῦτα ἰδὼν ὁ μάρτυς ἐμειδίασεν, ακατάπληκτον ἔχων τὸν λογισμόν.

23. Θεασάμενος οὖν ὁ Θεότεκνος τὸ παράστημα τοῦ μάρτυρος λέγει· Οὐδενὸς τῶν προκειμένων κολαστηρίων πειραθήσῃ, εἴπερ πεισθεὶς εὐγνώμων φανεῖς καὶ θύσεις, ἐλεύθερός τε ἔσῃ πάντων τῶν ἐγκλημάτων ὧν ἡ πόλις τε ὅλη καὶ οἱ ἱερεῖς ἐπὶ ἡμῶν κατά σου εἶπον, καὶ τῆς ἡμετέρας δὲ πρὸ πάντων ἀναπολαύσεις φιλίας καὶ τῶν καλλινίκων δὲ βασιλέων ἔσῃ φίλος, ὅπως καὶ γραμμάτων ἀξιωθήσῃ παρ' αὐτῶν τιμῆς σοι μεγίστης ἕνεκεν καὶ γράφῃς αὐτοῖς ὅτε χρεία καλέσῃ, εἴγε Ἰησοῦν ἀρνήσῃ, ὃν ἐπὶ τῆς Ἰουδαίας ὁ πρὸ ἡμῶν ἐσταύρωσεν Πιλάτος. σωφρονῆσαι οὖν θέλησον, ὦ Θεόδοτε, ἀπὸ πάσης μανίας, ἔοικας γὰρ ἀνδρὶ πᾶσαν ἐγνωκότι ἀκολουθίαν, ἴδιον γὰρ ἀνδρὸς φρονί- | μου τὸ ἕκαστα μετὰ ἀκριβείας καὶ σκέψεως ποιεῖν. ἀπαλλάγηθι οὖν, ὦ Θεόδοτε, πάσης φλυαρίας καὶ τοὺς ἄλλους μᾶλλον Χριστιανοὺς τῆς αὐτῆς ἀπάλλαξον μανίας. ἄρξεις δὲ τῆς πόλεως καταστὰς ἀρχιερεὺς τοῦ Ἀπόλλωνος τοῦ μεγίστην ἔχοντος ἐν τοῖς θεοῖς ἐξουσίαν καὶ τὰς μεγάλας παρ' αὐτοῦ ἐνεργείας ἡμῖν ἐπιδεικνύντος ἔν τε τῷ προλέγειν διὰ μαντείας τὰ μέλλοντα καὶ νοσημάτων τὰ πάθη διὰ τῆς ἰατρείας ἰᾶσθαι. καὶ διὰ σοῦ μὲν ἱερέων ἔσονται χειροτονίαι, διὰ σοῦ δὲ ἀξιωμάτων προαγωγαί, διὰ σοῦ δὲ προστασίαι πρὸς τοὺς ἄρχοντας ὑπὲρ τῆς πατρίδος καὶ πρεσβεῖαι πρὸς βασιλέας ὑπὲρ τῶν ὅλων πραγμάτων, καὶ μετὰ ἀρετῆς πλοῦτος καὶ προστασίαι τοῦ γένους καὶ μεγάλαι τιμαὶ καὶ δόξης λαμπρότης. εἰ δὲ καὶ χρημάτων παραυτίκα χρῄζεις καί σοι φίλον αὐτῶν μεταλαμβάνειν ἀφθόνως, ἕτοιμος ἡμῶν ἡ χεὶρ πρὸς μετάδοσιν. ταῦτα λέγοντος τοῦ Θεοτέκνου ἔπαινοι μυρίοι παρὰ τοῦ πλήθους ἐγίνοντο καὶ τὸν Θεόδοτον ἐμακάριζον παρῄνουν τε αὐτῷ τὰς διδομένας δωρεὰς δέχεσθαι.

F. 93

1 δοκεῖται VV' 2 ἄφεται V, suprascr. ε; post ἄφετε intercidisse suspicor με 2-3 κατολιγορίσαι V; κατηγορῆσαι V' 5 ἕστηκε V' 8 μηδειῶντι V 10 εἰδῶν VV' 13 (κολα)στηρίων V in rasura, scribere coeperat proximum v. πειρα⟨θήσῃ⟩ πειραθήσῃ cum ει ex ι V; πειραθείσῃ V' εὐγνώμνων V' 14 θύσεισ ex θήσεισ V' 17 ἀξιωθείσῃ V' τιμήσσοι V; τιμηθήσῃ V' 18 γράφεισ VV' 19 πηλάτοσ V 20-21 ἀκολουθείαν V; ἀκολοθίαν V' 21 φρονήμου VV' 23 μανίασ in rasura V, fuerat θρησκείασ 26 τῷ: τὸ V' μαντίασ V πάθη in litura V, scripserat, ut vid., μέρη 29 πρεσβεῖα V' βασιλέασ V' cum β ex λ 30 προστασίαι: fort. προστασία 34 δορεὰσ VV'.

24. Λεχθέντων δὲ τούτων ὁ μάρτυς εἶπεν· Πρώτην ταύτην αἰτῶ χάριν παρὰ τοῦ δεσπότου μου Ἰησοῦ Χριστοῦ, ὃν ἀρτίως ὡς ἄνθρωπον εἶπας ψιλόν, ὅπως καὶ τὰ τῆς πλάνης τῶν θεῶν διελέγξω καὶ τὰ περὶ τῶν θαυμάτων τοῦ κυρίου μου Ἰησοῦ Χριστοῦ καὶ τῆς αὐτοῦ ἐνανθρωπήσεως βραχέα τινὰ διέλθωμεν. ἀναγκαῖον οὖν ἐστιν, ὦ Θεότεκνε, καὶ ἔργῳ F. 93v καὶ λόγῳ τὴν εἰς αὐτὸν πληρῶσαι ὁμολογίαν ἐπὶ πολλῶν μαρτύρων. | τὰ μὲν γὰρ ὑπὸ τῶν θεῶν σου πραχθέντα καὶ λέγειν αἰσχρὸν ὑπάρχει. ὅμως πρὸς αἰσχύνην ὑμῶν εἴπω. ὃν λέγετε Δίαν πάντων τῶν θεῶν ὑμῶν εἶναι μείζονα εἴς τε μοιχείας καὶ παιδοφθορίας ηὕρηται καὶ ὅτι ἐκεῖνος ἀρχὴ πάντων τῶν κακῶν καὶ πέρας ἐστίν· Ὀρφεὺς γὰρ ὁ ὑμέτερος ποιητὴς λέγει ὅτι Ζεὺς τὸν Κρόνον τὸν ἴδιον πατέρα ἐφόνευσεν καὶ ἔσχεν τὴν ἰδίαν μητέρα τὴν Ῥέαν καὶ ἐξ αὐτῶν γεννᾶται ἡ Περσεφόνη, ἣν καὶ αὐτὴν ἐμίανεν, ἔσχεν δὲ καὶ τὴν ἰδίαν ἀδελφὴν Ἥραν γυναῖκα. καὶ Ἀπόλλων δὲ τὴν ἰδίαν ἀδελφὴν ἔσχεν Ἄρτεμιν, ἣν καὶ ἐμίανεν ἐν Δήλῳ παρὰ τῷ βωμῷ, καὶ ὁ Ἄρης δὲ τὴν Ἀφροδίτην καὶ ὁ Ἥφαιστος τὴν Ἀθηνᾶν, οἱ ἀδελφοὶ τὰς ἀδελφάς. βλέπεις, ὑπατικέ, πόσος παρὰ τοῖς θεοῖς ὑμῶν μιασμός. οὐχὶ εἴ τις ἀνθρώπων τὰ ἐκείνων ποιήσειεν ἔργα, τοῦτον οἱ νόμοι κολάζουσιν; εἰ δὲ ὑμεῖς ἐπὶ τοιαύτῃ ἀσωτίᾳ τῶν θεῶν ὑμῶν καυχᾶσθε καὶ οὐκ αἰδεῖσθε παιδομανεῖς καὶ μοιχοὺς καὶ φαρμακοὺς προσκυνοῦντες, ταῦτα γὰρ ὡς καυχώμενοι οἱ ποιηταὶ εἰρήκασιν.

25. Περὶ δὲ τῆς κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ δυνάμεως καὶ τῶν θαυμάτων αὐτοῦ καὶ τῆς οἰκονομίας καὶ τῆς ἐνανθρωπήσεως πολλὰ μὲν οἱ προφῆται προειρήκασιν καὶ πνευματοφόροι ἄνδρες φανερῶς καὶ καθαρῶς προκατήγγειλαν, μαρτυροῦντες ὡς ἐπ' ἐσχάτων τῶν χρόνων εἰς ἀνθρώπους ἐξ οὐρανῶν παραγινομένου, θαυματουργίαις παραδόξοις καὶ ἀπορρήτοις δυνά- F. 94 μεσι θεραπεύοντος τῶν ἀρρωστούντων τὰς νόσους | καὶ τοὺς ἀνθρώπους τῆς τῶν οὐρανῶν ἀξιοῦντος βασιλείας. καὶ ἀκριβῶς οἱ προφῆται ἔγραψαν περὶ τῆς ἐνανθρωπήσεως αὐτοῦ καὶ τοῦ θανάτου καὶ τοῦ πάθους αὐτοῦ καὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως. καὶ τούτων μάρτυρες Χαλδαῖοι καὶ μάγοι, καὶ οἱ Περσῶν λογιώτατοι ἐκ τῆς κινήσεως τῶν ἄστρων ὁδηγηθέντες καὶ τὸν χρόνον τῆς κατὰ σάρκα γεννήσεως αὐτοῦ ἔγνωσαν καὶ πρῶτοι θεὸν αὐτὸν ἐπιγνόντες ὡς θεῷ δῶρα προσήφερον. πολλὰ δὲ καὶ παράδοξα ἐποίησεν θαύματα· πρῶτον μὲν γὰρ ὕδωρ εἰς οἶνον μετέβαλεν καὶ ἐκ πέντε ἄρτων καὶ δύο ἰχθύων πεντακισχιλίους ἐπ' ἐρημίας ἐκόρεσεν καὶ λόγῳ τοὺς

[1] εἶπε V′ [4-5] ἐνανθρωπίσεως V [8] λέγεται V, sed ε corr. in marg. 1 m. δίαν VV′: Papebroch sine aequa causa (cf. p. 55) corr. Δία [9] εὔριται V′ [11] ἐφόνευσε V′ [12] Ῥέαν corr. Papebroch, ἤραν VV′ [13] ἔσχε V′ ἦραν cum psilosi VV′ [19] μοχοὺς V cum ι suprascr. φαρμάκουσ VV′ [20] καυχάμενοι V′ scripsisse vid. [23] προηρήκασιν V, suprascr. ει [25] παραγινομένων V; παραγινόμενον V′; corr. Papebr. [26] ἀρρωστοῦντοσ VV′ τοῖσ ἀνθρώποισ VV′, correxi [28] ἐνανθρωπίσεως V [32] ἐπιγνῶντεσ VV′ προσήφερον (VV′) consulto in προσέφ. non immutavi (cf. p. 56) [33] ἐποίησε V′ [34] ἐκόρεσε V′.

ἀρρώστους ἰάσατο καὶ τὴν θάλασσαν δὲ ὡς ξηρὰν ἐπέζευσεν. τούτου τὴν δεσποτείαν καὶ φύσις ἐπέγνω πυρὸς καὶ κελεύσματι αὐτοῦ οἱ ἀποθανέντες ἠγείροντο, τυφλοῖς γὰρ ἐκ γεννητῆς παρέσχεν λόγῳ τὸ φῶς καὶ χωλοὺς ταχυτάτους ἐπειργάζετο καὶ ἑτέρους δὲ τεθαμμένους ἀπὸ τεσσάρων ἡμερῶν ἀνέστησεν λόγῳ. καὶ τίς δυνήσεται ἐξειπεῖν ὅσα παράδοξα ἐποίησεν σημεῖα, ἅτινα θεὸν καὶ οὐ ψιλὸν ἄνθρωπον αὐτὸν ἀποδεικνύουσιν;

26. Εἰπόντος δὲ ταῦτα τοῦ μάρτυρος, ἅπαν τὸ πλῆθος τῶν εἰδωλομανῶν ἐκυμαίνετο ὥσπερ θάλασσα ὑπὸ σφοδροτάτου ἀνέμου ταρασσομένη, τῶν τε ἱερέων διαρρηγνύντων τὰ ἱμάτια καὶ τὰς κόμας διασπαρασσόντων καὶ τοὺς στεφάνους διασπώντων καὶ τοῦ πλήθους ἀναβοῶντος μεγάλα καὶ τὸν ἡγεμόνα Θεότεκνον αἰτιουμένου ὡς οὐ δικαίως πεποιηκότα F. 94v ἀνθρώπῳ | ὑποκειμένῳ μάστιγας καὶ θάνατον, κατὰ τῆς τῶν θεῶν εὐμενείας τοσαῦτα βλασφημήσαντι καὶ ἐπίδειξιν πεποιηκότι ῥητορικῆς μετὰ τοσαύτης ἀδείας, ὃν ἐχρῆν ἐκ πρώτης τῷ ξύλῳ κρεμασθέντα τοῖς θεοῖς αὐτὸν διδόναι δίκην. ἔτι οὖν καὶ μᾶλλον παροξυνθεὶς ὁ Θεότεκνος, ὑπερζέσας τῷ θυμῷ ἐκέλευσεν τοῖς δορυφόροις μετὰ σπουδῆς τὸν ὅσιον τῷ ξύλῳ προσαγαγεῖν. συνεχέστερον οὖν ὁ Θεότεκνος ἀπὸ τῆς μανίας ἀνεπήδα τοῦ θρόνου βουλόμενος δι᾿ ἑαυτοῦ τοῦτον κολάζειν. θορυβουμένου δὲ καὶ τοῦ πλήθους καὶ τῶν * ὄχλων * ἑτοιμαζόντων τοὺς ὄνυχας καὶ τῶν κηρύκων ἐπιβοώντων καὶ μιᾶς ἐκ πάντων γινομένης συγχύσεως, ὁ γενναῖος ἀθλητὴς μόνος ἠρεμαίᾳ τῇ γνώμῃ, ὥσπερ ἐπ᾿ ἄλλον τινὰ καὶ οὐκ ἐπ᾿ αὐτὸν κακῶν τοσαύτης κεκινημένης πλημμύρας.

27. Οὐδὲν οὖν τῶν τιμωρητικῶν ὀργάνων λοιπὸν ἡσύχαζεν, οὐ πῦρ, οὐ σίδηρος, οὐκ ὄνυχες· ἀλλὰ ἄλλος ἀλλαχόθεν περιστάντες καὶ τὴν ἐσθῆτα περιρρήξαντες, τῷ ξύλῳ ἀνήρτησαν καὶ ἀποδιαστάντες τὰς πλευρὰς αὐτοῦ τοῖς ὄνυξιν διεσπάραττον, ἕκαστος ὅσον εἶχεν δυνάμεως, οὐκ ἐνεγκόντες τὸν κάματον. ὁ δὲ μάρτυς προσεμειδία τοὺς τύπτοντας τερπόμενος καὶ δίχα θορύβου τὴν πεῖραν ἑκάστου τῶν κολαστηρίων ἐδέχετο, μήτε τὴν μορφὴν τοῦ προσώπου διαστρέφων, μήτε ὑποστελλόμενος τὴν τοῦ τυράννου ὠμότητα (εἶχεν γὰρ τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν βοηθόν), ἕως F. 95 οὗ ἀπέκαμον οἱ τύπτοντες. | ἀτονησάντων οὖν ἐκείνων ἕτεροι προσελθόντες διεδέχοντο τοὺς προτέρους. ὁ δὲ καλλίνικος ἀγωνιστὴς τοῖς μὲν

2 ἀποθανέντεσ corr. V' ex ἀποθανόντεσ 3 παρέσχε V' 8 ἐκοιμαίνετο VV' 9 διαρηγνύντων V: διαρρυγνύντων V' 10 διασπόντων VV' 11 αἰτιουμένου (= αἰτιωμ.) scripsi; αἰτουμένου VV' πεποιηκότα corr. Papebroch, πεποιηκότι VV' 14 ἀδείασ ex αἰδείασ V' supra lin. 16 ἐκέλευσε V' δοροιφόροισ V 19 τῶν ὄχλων: exspectamus τῶν δημίων 19-20 ἐπιβοόντων V' 20 γενομένησ V' 21 post μόνος sive subaudias sive addas ἦν aut παρίστατο γνώμῃ in rasura V, fuerat φωνῇ ἄλλον ex ἄλλων V επαυτὸν V ex επαυτῶν 1 m. 23 λοιπὸν add. V in marg. 25 περιρήξαντεσ VV' 27 κάματον corr. V ex θάνατον 30 εἶχε V' 31 ἐπέκαμον V' 32 διεχοντο V, δέ suprascr.

δημίοις ὥσπερ ἀλλότριον τὸ σῶμα πρὸς ἑλκυσμὸν καὶ σπαραγμὸν παρεδίδου καὶ τὸν λογισμὸν ἄτρεπτον εἶχεν πρὸς τὸν ἁπάντων δεσπότην. ἐκέλευσεν δὲ ὁ Θεότεκνος ὄξους δριμυτάτου* ῥαίνεσθαι τὰς πλευρὰς αὐτοῦ καὶ λαμπάδας πυρὸς αὐτῷ προσφέρεσθαι. δριμυχθεὶς δὲ ὁ ὅσιος ἀπὸ τοῦ ὄξους, ἅμα δὲ καὶ τῶν πλευρῶν αὐτοῦ καιομένων, κνίσα τις ἐγένετο. ὅθεν αἰσθόμενος τῆς κνίσης τῶν σαρκῶν αὐτοῦ ὀπτωμένων, δυσχεράνας διέστρεφεν τοὺς μυκτῆρας αὐτοῦ. ἰδὼν δὲ ὁ Θεότεκνος καὶ μετὰ σπουδῆς ἀναπηδήσας τοῦ θρόνου εἶπεν· Ποῦ τὸ τῶν λόγων σου γενναῖον, ὦ Θεόδοτε; ὁρῶ γάρ σε πρὸς τὰς βασάνους συντόμως ἡττώμενον. εἰ μὴ γὰρ τοὺς θεοὺς ἐβλασφήμησας, ἀλλὰ προσεκύνεις τῆς δεσποτείας αὐτῶν τὸ βέβαιον, οὐκ ἂν ἥψαντό σου αἱ βάσανοι. πείσω δέ σε οἰνοπώλην ὄντα καὶ ἄνθρωπον εὐτελῆ τοιαῦτα κατὰ ἀρχόντων μὴ λέγειν ἐχόντων ἐξουσίαν τοῦ αἵματός σου. ὁ δὲ μάρτυς εἶπεν· Μὴ θαυμάσῃς, ὑπατικέ, ὅτι αἰσθόμενος τῆς κνίσης τῶν πλευρῶν μου διέστρεψα τὰς ῥῖνάς μου· ἐπίτασσε δὲ μᾶλλον τοῖς δορυφόροις πάσῃ προστάξει σου καθυπουργεῖν, αἰσθάνομαι γὰρ ἀτονήσαντας αὐτούς· σὺ δὲ ἐπινόει κολαστήρια καὶ πάσης μηχανῆς ἐξεύρεσιν, ὅπως μάθῃς καρτερίαν ἀθλητοῦ, γνώσῃ δὲ τὸν κύριόν μου Ἰησοῦν
F. 95v βοηθοῦντά μοι. ὅθεν ὡς ἀνδραπόδῳ σοι διαλέγομαι καὶ τῶν βασιλέων | σου ἀσεβούντων καταφρονῶ, τοσαύτην μοι δίδωσιν ὁ δεσπότης Χριστὸς τὴν φροντίδα. εἰ μὲν γὰρ ἀσεβοῦντά με λαβὼν ἐκόλαζες, εἶχεν ἄν σου καὶ παρρησίαν ὁ φόβος· νυνὶ δὲ οὐ δέδοικά σου τὰς ἀπειλάς, ὑπὲρ τῆς εἰς Χριστόν μου πίστεως πάντα πάσχων. ταῦτα εἰπόντος τοῦ μάρτυρος ὁ Θεότεκνος ἐκέλευσεν τοῖς δορυφόροις λίθοις αὐτοῦ τὰς σιαγόνας τύπτειν καὶ τοὺς ὀδόντας ἐκφέρειν. ὁ δὲ τίμιος μάρτυς εἶπεν· Εἰ καὶ τὴν γλῶτταν ἐκκόψειάς μου, Θεότεκνε, καὶ τὰ τῆς φωνῆς πάντα ἀφέλοις ὄργανα, καὶ σιωπώντων ἀκούει ὁ θεὸς τῶν Χριστιανῶν· τὸν γὰρ εὐσεβῆ λογισμὸν ἔχω ἀμετάθετον.

28. Ἀποκαμόντων δὲ τῶν δημίων πρὸς τὸ διασπᾶν καὶ σπαράττειν τὸ σῶμα, ἐκέλευσεν αὐτὸν κατενεχθέντα ἀπὸ τοῦ ξύλου εἰς τὸ δεσμωτήριον ἀποτεθεῖναι φυλαχθησόμενον εἰς ἑτέραν ἐξέτασιν. ὡς δὲ ἦγον αὐτὸν διὰ μέσης τῆς ἀγορᾶς συγκεκομμένον τὸ σῶμα καὶ ἐκ τῶν τραυμάτων αὐτῶν τὴν νίκην ἐπιδεικνύοντα, πλῆθος δὲ πολιτῶν περὶ αὐτὸν πολὺ ὡς ἐπὶ θέαν συνδεδραμηκότων, πᾶσιν αὐτοῖς μετὰ παρρησίας τὴν δύναμιν τοῦ Χριστοῦ ἐπεδείκνυεν ἐκ τῶν οἰκείων παθημάτων λέγων· Ὁρᾶτε πάντες τῆς δυνάμεως τοῦ Χριστοῦ μου τὸ παράδοξον, ὅπως τοῖς ὑπὲρ αὐτοῦ καταδεξαμένοις πάσχειν, τὴν ἀπάθειαν αὐτοῖς παραυτίκα χαρίζεται καὶ τὴν τοῦ σώματος ἀσθένειαν εὐτονοτέραν πυρὸς ἀπεργάζεται καὶ παρασκευάζει

1 ἐλκυσμὸν V cum psilosi et sic p. 82 lin. 26 2 εἶχε V' 3 ἐκέλευσε V' fort. ⟨μετ'⟩ ὄξους δριμυτάτου V' ex δρυμυτ. ῥένεσθαι (ρ ex σ V) VV' 8 εἶπε V' 9 ἡττόμενον V' 10 προσεκύνησ VV' (sed V η mutavit in ει) 11 οἰνοπόλην VV' 13 εἶπε V' 20 om. γὰρ V' 23 ἐκέλευσε V' 26 σιωπόντων VV' 30 ἀποτεθεῖναι VV' 33 συνδεδραμικότων VV'.

τοὺς εὐτελεῖς καταφρονεῖν ἀρχοντικῶν ἀπειλῶν | καὶ βασιλικῶν προσταγμάτων νομοθετούντων ἀσέβειαν, καὶ ἁπλῶς πᾶσιν ὁ τῶν ὅλων δεσπότης θεὸς τοῦτο παρέχει, δυσγενέσιν δούλοις ἐλευθέροις βαρβάροις. τοιαῦτα οὖν παραινῶν καὶ τοὺς τύπους ὑποδεικνὺς αὐτοῖς τῶν τραυμάτων ἔλεγεν· Χρὴ τοῖς εἰς τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν πεπιστευκόσι τοιαύτας προσφέρειν θυσίας, οἵας καὶ ἡμεῖς προσφέρομεν, πρῶτος γὰρ αὐτὸς ὑπὲρ ἑκάστου ἡμῶν τοιαῦτα ἠνέσχετο παθεῖν.

29. Ἡμερῶν δὲ πέντε διελθουσῶν ἐκέλευσεν ὁ Θεότεκνος ἀναμέσον τῆς πόλεως ἀκροατήριον γενέσθαι ἐν ἐπισήμῳ τόπῳ ἄγειν τε τοῖς δορυφόροις προσέταξεν τὸν μάρτυρα. καὶ μετὰ σπουδῆς ἤχθη. ἐλθόντος δὲ αὐτοῦ ὁ Θεότεκνος ἔφη· Πλησίον ἡμῶν ἐλθέ, Θεόδοτε, μανθάνω γὰρ βελτίονά σε γενέσθαι σωφρονισθέντα τοῖς πρώτοις, καὶ τῆς προτέρας σου κενοδοξίας πεπαῦσθαι· ἀλόγως γὰρ εἵλκυσας κατὰ σαυτοῦ τοσαύτας βασάνους καί περ ἡμῶν μὴ βουλομένων. ἀλλὰ νῦν ἄφες σου τὸ ὠμὸν καὶ φιλόνεικον καὶ ἐπίγνωθι τὴν δεσποτείαν τῶν παντοδυνάμων θεῶν, ὅπως καὶ τῶν ἡμετέρων δωρεῶν ἀπολαύσῃς, ἃς πρώην μὲν ὑπεσχόμην, νῦν δὲ ἑτοίμως ἔχω παρασχεῖν θύσαντί σοι τοῖς θεοῖς. σκέψαι οὖν τὸ συμφέρον σοι, καὶ γὰρ καὶ πῦρ ηὐτρεπισμένον, ὡς ὁρᾷς, καὶ σίδηρος ἠκονημένος καὶ θηρίων στόματα πρὸς σπαραγμὸν ἠνεῳγμένα, ὥστε σε τούτων πεῖραν λαβόντα τὰ πρῶτα σκιὰ φανήσεται. ταῦτα ἀκούσας ὁ τοῦ Χριστοῦ
F. 96v μάρτυς Θεόδοτος, μηδὲν δειλιάσας εἶπεν· | Καὶ τί, ὦ Θεότεκνε, ἐπινοήσεις καθ' ἡμῶν μεῖζον, ὅπερ δυνήσεται καταγωνίσασθαι τὴν τοῦ κυρίου μου Ἰησοῦ Χριστοῦ δύναμιν, πλὴν ὅμως εἰ καὶ τὸ σῶμά μου ὅλον διαλέλυται ἀπὸ τῶν πρώτων μαστίγων, ὡς ὁρᾷς; πάλιν λάμβανε πεῖραν τῆς ἐμῆς καρτερίας καὶ πρόσφερε τῷ σώματί μου διαφόρους βασάνους, ἵνα ἴδῃς ὁπόσην ἔχει πρὸς ὑπομονὴν εὐτονίαν τοῦτό μου τὸ σῶμα ὅπερ ἀρτίως ἠφάνισται.

30. Ταῦτα εἰπόντος τοῦ ἁγίου ἐκέλευσεν ὁ Θεότεκνος τῷ ξύλῳ πάλιν αὐτὸν προσάγειν. οἱ δὲ δήμιοι ὥσπερ θῆρες περιστάντες ταῖς πλευραῖς αὐτοῦ ἐξ ἑκατέρου μέρους, ἔξεον ἐπὶ τὰς πρώτας πληγὰς τραυμάτων εἰς βάθος μετὰ τῶν ὀνύχων ἐνρήσσοντες. καὶ ἔτι μᾶλλον μεγάλῃ τῇ φωνῇ ὁ καλλίνικος μάρτυς ὡμολόγει τὴν εὐσέβειαν. ὡς δὲ εἶδεν ὁ Θεότεκνος ἑαυτὸν ματαιοπονοῦντα καὶ τοὺς βασανίζοντας διαλελυμένους τῷ καμάτῳ, ἐκέλευσεν ἀπὸ τοῦ ξύλου κατενεχθέντα αὐτὸν ἐπιτεθῆναι πεπυρωμένοις ὀστράκοις, ἅπερ μέχρι τῶν ἐγκάτων αὐτοῦ διῆλθον. αἰσθόμενος δὲ δεινο-

1 βασιλεικῶν V 4 ἔλεγε VV' 8 πέντε: sine aequa causa Papebroch corrigendum coni. πεντεκαίδεκα 9 ἀκροτήριον VV', correxi 16 δορεῶν V 18 εὐτρεπισμένοσ VV' εἰκονημένοσ V; ἠκονιμένοσ. V' 19 ἠνεογμένα V; cf. p. 56 21 εἶπε V' 22 καταγωνίσασθαι ex καταγωνήσ. V 25 εἰδῆσ V 29 περιστάνταισ V' 31 ἐνρήσοντεσ V', add. supra lin. alt. σ μᾶλλον το V', sed το lineola del. 32 ὡμολόγει ex ὡμολόγη V 35 ὀστράκοισ cum spiritu aspero VV'.

τάτου πόνου, προσηύχετο λέγων· Κύριε Ἰησοῦ Χριστέ, ἡ τῶν ἀπελπισμένων ἐλπίς, ἡ τῶν ἀβοηθήτων βοήθεια, τὸ φῶς τῶν ἐν σκότει, ἡ ἀνάστασις τῶν τεθανατωμένων, εἰσάκουσον τῆς προσευχῆς μου καὶ κούφισον τὸν πόνον τοῦτον, ὅτι διὰ τὸ ὄνομά σου τὸ ἅγιον ταῦτα πάσχω. ὡς δὲ εἶδεν ὁ Θεότεκνος καὶ τὴν τῶν ὀστράκων ἄπρακτον οὖσαν πεῖραν πρὸς τὴν F. 97 ἑαυτοῦ βουλήν, ἐκέλευσεν αὐτὸν πάλιν τῷ ξύλῳ προσάγεσθαι | καὶ τοῖς ὄνυξιν ἀναξέειν τὰ τραύματα. οὐδεμίαν δὲ αἴσθησιν ὁ μάρτυς τοῦ Χριστοῦ εἶχεν τοῦ σώματος καὶ παίζειν αὐτοὺς μᾶλλον ἤπερ σπουδάζειν ἐδόκει. μόνη δὲ ἡ γλῶσσα αὐτοῦ ἦν ὑγιὴς ὑμνοῦσα τὸν κύριον, ἥνπερ τότε οἱ ἀσεβεῖς σώαν πρὸς ἄρνησιν ἐφύλαξαν, ἔλαθον δὲ ἑαυτοὺς ὅτι πρὸς βεβαίωσιν μᾶλλον ὁμολογίας ταύτην φυλάττουσιν.

31. Ὡς δὲ εἶδεν ὁ Θεότεκνος ἀποροῦντα ἑαυτὸν πρὸς τὰς τῶν βασάνων ἐπινοίας καὶ τοὺς κολάζοντας δημίους ἀτονήσαντας τὸ καθόλου καὶ μηδὲν δυναμένους, τὸν δὲ μάρτυρα τῇ προθέσει ἀκμαιότερον ὑπάρχοντα, ἔδωκεν τὴν ἀπόφασιν εἰπών· Θεόδοτον τὸν προστάτην τῶν Γαλιλαίων, τῶν δὲ θεῶν ἐχθρόν, ἀντιπίπτοντα τοῖς προστάγμασι τῶν ἀηττήτων βασιλέων, καταφρονήσαντα δὲ κἀμοῦ, κελεύει ἡ ἐμὴ ἐξουσία τὴν διὰ τοῦ ξίφους ὑποστῆναι τιμωρίαν καὶ μετὰ τὸ ἀποτμηθῆναι τὸ σῶμα αὐτοῦ πυρὶ καυθῆναι, ὅπως μὴ οἱ Χριστιανοὶ λαβόντες αὐτὸ θάψωσιν. λαβόντος δὲ αὐτοῦ τὴν ἀπόφασιν πᾶσα ἡ πόλις ἀνδρῶν τε καὶ γυναικῶν συνεξῆλθον αὐτῷ ἰδεῖν τὸ τέλος. γενομένων δὲ αὐτῶν ἐν τῷ τόπῳ προσηύξατο ὁ μάρτυς λέγων· Κύριε Ἰησοῦ Χριστέ, ὁ ποιητὴς οὐρανοῦ καὶ γῆς, ὁ μὴ ἐγκαταλιμπάνων τοὺς ἐπὶ σοὶ πεποιθότας, εὐχαριστῶ σοι ὅτι ἐποίησάς με ἄξιον πολίτην τῆς ἐπουρανίου σου πόλεως καὶ συμμέτοχον τῆς σῆς βασι- F. 97v λείας, εὐχαριστῶ σοι ὅτι ἠξίωσάς με νικῆσαι τὸν δράκοντα καὶ συν- | τρίψαι αὐτοῦ τὴν κεφαλήν. δὸς ἄνεσιν τοῖς δούλοις σου, μέχρις ἐμοῦ στήσας τῶν ἐχθρῶν τὴν ἐπανάστασιν, δὸς εἰρηνεύειν τὴν ἐκκλησίαν σου, ῥυσάμενος αὐτὴν ἐκ τῆς τοῦ διαβόλου τυραννίδος. καὶ τελέσαντος αὐτοῦ τὸ ἀμὴν στραφεὶς καὶ ἰδὼν τοὺς ἀδελφοὺς κλαίοντας, εἶπεν αὐτοῖς· Μὴ κλαίετε, ἀδελφοί, ἀλλὰ δοξάσατε τὸν κύριον ἡμῶν Ἰησοῦν Χριστὸν τὸν ποιήσαντα τελείως τὸν δρόμον δραμεῖν καὶ νικῆσαι τὸν ἐχθρόν· ἔσομαι γὰρ ἐν παρρησίᾳ ἐν τοῖς οὐρανοῖς, ὑπὲρ ὑμῶν ἀδιαλείπτως ἐντυγχάνων τῷ θεῷ. ταῦτα δὲ αὐτοῦ εἰπόντος ἐδέξατο τὸ ξίφος χαίρων.

32. Ἅψαντες οὖν πυρὰν μεγίστην οἱ δήμιοι, ἔβαλον τὸ λείψανον τοῦ ἁγίου μάρτυρος περιθέντες ξύλα πολλά. κατ᾽ οἰκονομίαν δὲ τῆς τοῦ θεοῦ φιλανθρωπίας αἰφνίδιον φαίνεται αὐτοῖς ὑπὲρ τὴν πυρὰν φῶς κυκλόθεν

5 ὀστράκων cum spir. aspero *V* ἄπρακτον add. *V* in marg. 8 εἴπερ *VV'* 15 ἔδωκε *V'* 16 ἐχθρὸν ex ἐχθρῶν *V* 17 καταφρονήσαντα correxi; καταφρονήσαντοσ *VV'* 29 εἰδὼν *V* 30 post ποιήσαντα inserend. fort. με 34 ἄψαντεσ cum spir. l. *V* ἔβαλον: conicias ἐπέβαλον aut ἐνέβαλον, sed cf. Usener *Theodosios* p. 141 36 φιλανθρωπίασ in litura *V*, scribere coeperat οἰκον(ομίας). 36 κυκλῶθεν *VV'*.

περιαστράπτον, ὥστε μὴ τολμᾶν τοὺς ὑποκαίοντας προσεγγίσαι. ἔσωθεν οὖν ἔμενεν τὸ τίμιον τοῦ μάρτυρος λείψανον ἀβλαβές. ἀπήγγειλαν δὲ τὰ γινόμενα οἱ ὑπηρέται τῷ Θεοτέκνῳ, ὁ δὲ ἐκέλευσεν παραμένειν αὐτοὺς καὶ φυλάσσειν τὸ λείψανον ἐπὶ τῷ τόπῳ ἔνθα τὴν κεφαλὴν ἀπέθετο. παρέμενον οὖν κατὸ κελευσθὲν αὐτοῖς οἱ στρατιῶται φυλάσσοντες τὸ λείψανον τοῦ ἁγίου. παρεγένετο δὲ κατὰ τὰς συνθήκας ὁ πρεσβύτερος Φρόντων ἀπὸ τοῦ κτήματος Μαλοῦ, ἐπικομίζων τὸν δακτύλιον τοῦ ἁγίου μάρτυρος, ὅνπερ αὐτῷ δέδωκεν τῶν λειψάνων ἕνεκα, ἔχων μεθ' ἑαυτοῦ καὶ ὑποζύγιον,
F. 98 ὅπερ | οἴνου ἐφόρτωσεν παλαιοῦ, γεωργεῖ γὰρ ὁ τόπος πάνυ δόκιμον. φθάσας οὖν τὴν πόλιν ὀψίας οὔσης, κατὰ βούλησιν τῆς τοῦ θεοῦ προνοίας ἡ ὄνος ἐπὶ τὸν τόπον ἐξέκλινεν, ἔνθα ἔκειτο τὸ λείψανον τοῦ ἁγίου μάρτυρος. ὡς οὖν εἶδον οἱ τηροῦντες τὴν ὄνον, ἐπέδραμον καὶ πρὸς τὸν πρεσβύτερον εἶπον· Ποῦ πορεύει, ξένε, ὀψίας οὔσης βαθείας; ἐλθὲ μᾶλλον, μεῖνον μεθ' ἡμῶν καὶ ἡ ὄνος σου δαψιλῶς τραφήσεται, καὶ γὰρ καὶ χόρτος πολύς, ὡς ὁρᾷς· εἰ δὲ καὶ εἰς τὰς σπορίμους χώρας βουληθῇς, οὐδείς ἐστιν ὁ κωλύσων. καί σοι γὰρ αὐτῷ ἀνεκτότερον ἔσται τὸ μεθ' ἡμῶν μεῖναι ἢ διοχληθῆναι πανδοχικῇ ἀγνωμοσύνῃ.

4. *Ὁ δὲ Φίλιξ ἐάσας τὸν Ἐλευθέριον, ἀπῆλθεν πρὸς τοὺς ἀδελφοὺς αὐτοῦ μηνύων αὐτοῖς πάντα τὰ γεγονότα αὐτῷ ὑπὸ τοῦ Ἐλευθερίου, καὶ ἐχάρησαν χαρὰν μεγάλην. ὁ δὲ Ἐλευθέριος ἤχθη ἐν τῷ παλατίῳ καὶ ἐδηλώθη τῷ Ἀδριανῷ περὶ αὐτοῦ. τότε εἰσήγαγον αὐτόν, κελεύσαντος τοῦ Ἀδριανοῦ ἡτοιμασθῆναι τριβουνάλιον. καὶ ὡς ἤχθη ὁ Ἐλευθέριος ὑπὸ τῶν προτικτόρων, ἐπερώτησεν αὐτὸν ὁ Ἀδριανὸς λέγων· Ἐλευθέριε, πῶς τοιαύτης ἐλευθερίας τυγχάνων ἐξέδωκας ἑαυτὸν μανιωδεστάτῃ θρησκείᾳ καὶ σέβῃ θεόν, ὅστις ὑπὸ θνητῶν ἀνθρώπων ἀνῃλώθη; ὁ δὲ Ἐλευθέριος σιωπὴν ἀσκῶν εἱστήκει. πάλιν ὁ Ἀδριανὸς ἐπερώτησεν αὐτὸν λέγων· Ἐλευθέριε, ἀποκρίνου πρὸς ἃ ἐπερωτήθης. ὁ δὲ Ἐλευθέριος*

[1] *ἐπάγαγέ σου τὴν χεῖρα (τὴν χεῖρά σου P) BP* *ἐπέμὲ BP; ἐπέμοὶ O* [2] *ἐν τῶ ὕδατι BP* *ἀπολούσομαι V: ἀπολουσάμενοσ ἐκδύσωμαι B* *ἀνομίαν: ἄνοιαν B; ἀνωμίαν μου V* *ἣν: ἣν V* cum duplici accentu [3] *εἰς OB; πρὸσ V* *ὁ δὲ (τότε ὁ P) ἐπ. Ἐλ. εὐξάμ.: εὐξάμενοσ οὖν ὁ ἐλευθέριοσ B* [3-4] om. *καὶ ἐπιλ.-αὐτοῦ O* [4] omm. *PV αὐτὸν* *τωι V* sic cum ι adscripto [5] *φωτήσαντοσ O* *καὶ: τοῦ καὶ B* [5-6] *καὶ φωτίσαντος* om. *V; φωτήσαντοσ O* [6] *τοῦ εὐνούχου V* omm. *τὸν* post *εὐνοῦχ. BPV* om. *βαπτισθέντα BO; βαπτίζω καὶ λέγω P* [7] om. *αὐτὸς V;* om. *αὐτὸς καὶ νῦν P* *νῦν + βαπτίσασ V* *τὸν σὸν-κατακεκοσμ.: ἀνάδειξον κύριε (δέσποτα B) πίστει κεκοσμημένον (κατακεκ. P) τὸν σὸν δοῦλον φίληκα BPV* [8] *οὕτω V* omm. *τούτων γενομ. BP;* om. *τούτων γενομ. προθύμωσ O* *εὐπροθύμωσ P* om. *ἀμφότεροι V* [8-9] *ἐν τῆ ρώμῃ PV* [9] om. *B πρὸς-βασιλέα* [10] *φίλιξ δὲ B* *τὸν + ἅγιον B* [11] om. *αὐτοῦ P* *μηνύον B; μηνοίων O* *αὐτοῖς: αὐτῆσ B; αὐτοὺσ P* *γεγονῶτα O; γεγενημένα BP* *αὐτῷ: εἰσ αὐτὸν B;* om. *P* *Ἐλευθερίου: μακαρίου B + οἳ καὶ ἀκούσαντεσ ἐχάρισαν B* [12] *ἤχθη: εἰσήχθη P* [12-13] *ὁ δὲ-ἐδηλώθη. εἰσαχθέντοσ οὖν τοῦ ἐλευθερίου ἐν τῶ παλατίω ἐδηλώθη B* [13] *περὶ: τὰ περὶ P* *τότε εἰσήγαγον: καὶ ὅτε ἤγαγον P* [13-14] *περὶ αὐτοῦ-τοῦ Ἀδριανοῦ: ὑπὸ τῶν στρατιωτῶν πάντα τὰ περὶ αὐτοῦ. καὶ ὅτι ἁγιώχασιν αὐτὸν. ἐκέλευσεν οὖν ὁ ἀδριανὸσ B* [14] *ἡτοιμάσ... βουνάλιον P,* rell. abscissa membrana desiderantur *καὶ ὡς ἤχθη ὁ Ἐλ.: καὶ... χθη ὁ ἐλευθ... εἰσαχθέντοσ δὲ αὐτοῦ P; καὶ καθήσασ ἐποίησεν ἀχθῆναι αὐτόν· εἰσαχθέντοσ δὲ αὐτοῦ B* [15] *προτηκτόρων B* *ἐπερώτισεν O; ἠρώτα B,* om. *αὐτὸν; ἠρώτησεν P* [16] om. *πῶς B* *ἐλευθερίας: εὐγενίασ B* *ἐξέδ.: πῶσ ἐξέδ. B* *αὐτὸν O; σεαυτὸν BP; ἑαυτὸν V* [17] *θρισκεία O* omm. *θνητῶν BPV* *ἀνειλώθη O; ἐσταυρώθη B* [18] *ἀσκῶν: ἀσκήσασ B* *ἱστήκει OV; εἰστήκει B* *πάλιν ὁ: πάλιν οὖν B* *ἐπηρώτησεν V; ἠρώτα BP* [19] om. *Ἐλευθέριε V* *ἀποκρίνου μοι* (om. *μοι P*) *πρὸσ ἃ ἐπερωτῶ σε PV; ἀποκρ. πρὸσ ἃ ἐπερωτίθης O; πρὸσ ἃ ἐρωτῶ σε ἀποκρίνου B* *ὁ δὲ: τότε ὁ P.*

ἀναβλέψας εἰς τὸν οὐρανὸν καὶ ποιήσας τὴν ἐν Χριστῷ σφραγῖδα, ἤρξατο λέγειν· Ἐλευθερία ἐστὶν αὕτη, τὸ γινώσκειν τὸν ποιητὴν οὐρανοῦ τε καὶ γῆς, τὸν πάντα δεδημιουργηκότα. Ἀδριανὸς εἶπεν· Πείσθητί μοι καὶ πρόσελθε τοῖς θεοῖς καὶ μεγίστων τιμῶν καὶ ἐξουσιῶν μέτοχος γίνῃ παρ' ἐμοί. πάλιν ὁ Ἐλευθέριος ἀπεκρίνατο· Τὰ ῥήματά σου δόλου καὶ πικρίας εἰσὶ μεστά. ἐμβριθὴς δὲ γενόμενος ὁ Ἀδριανὸς ἐκέλευσεν ἐνεχθῆναι κράβατον χαλκοῦν καὶ ἀποδυθῆναι τὸν μακάριον νεανίαν καὶ κατατείνεσθαι ἐκ τεσσάρων ἐπὶ τοσοῦτον, ὥστε ἐξαρθρῆσαί τε καὶ ἐξαρμόσαι τὰ τρυφερὰ αὐτοῦ μέλη. πᾶσα δὲ ἡ Ῥώμη συναχθεῖσα ἐπὶ τῇ θέᾳ τοῦ ἀγωνιστοῦ ἐβόα· Εὐγενῆ καὶ σοφὸν νεανίαν ἀνελεῖν κελεύει ὁ βασιλεύς. ὥρας δὲ διελθούσης ἐκέλευσεν αὐτὸν λυθῆναι, νομίσας ὅτι ἀπέψυξεν, ἦν γὰρ καὶ πυρὰ ὑπεστρωμένη ὑποκάτω αὐτοῦ. ὁ δὲ νεανίας ἀναστὰς περιεπάτει ἐνώπιον αὐτοῦ, καὶ ἐκτείνας τὴν χεῖρα εἶπεν· Ἄνδρες Ῥωμαῖοι, μέγας ὁ θεὸς ὃν ἐκήρυξε Πέτρος καὶ Παῦλος ἐνθάδε, δι' οὗ καὶ δυνάμεις <ἐποίησαν καὶ ἰάσεις> ἐπετέλεσαν καὶ τὸν ἀλάστορα Σίμωνα τὸν μάγον τὸν σεβόμενον τὰ εἴδωλα ταῦτα, ἅπερ σέβεται Ἀδριανός, κατῄσχυναν, καὶ νῦν δὲ ὁρᾶτε ὅσας δυνάμεις ἐνδείκνυται τοῖς ἀγαπῶσιν αὐτόν.

[1] ἐν Χριστῷ: ἐν κυρίῳ B [2] λέγειν οὕτωσ V; λαλεῖν P αὕτη ἐστὶν B τὸ: τῶ B; τοῦ P γινώσκειν: προσκυνεῖν V [2-3] ποιητὴν οὐρανοῦ τε (omm. τε BP) καὶ γῆσ. τὸν πάντα (καὶ τῶν πάντων B: καὶ πάντα P) δεδημιουργικῶτα (δημιουργῶν B; δημιουργήσαντα P) BOP; ποιήσαντα οὐρανὸν καὶ γῆν καὶ δημιουργήσαντα τὰ πάντα V [4-5] πρόσελθε-παρ'ἐμοί: καὶ προσελθὼν θῦσον τοῖς θεοῖς (πρόσελθε τοῖς θ. καὶ θῦσον P: πρόσελθε, om. καὶ θῦσον, B) καὶ ποιήσω σε (σαι B) μεγιστάνον (μεγιστάνα τῶν B; μέγιστον P) ἐν τῶ παλατίῳ μου BPV [5] πάλιν ὁ Ἐλ. ἀπεκρ.: καὶ ἀποκριθεὶσ ἐλευθέριοσ εἶπεν BV; ἐλευθέριοσ εἶπεν P δώλου B [6] μεστά ἐστιν V; omm. εἰσὶ BP ἐμβριμήθεις B; ἐμβρηθεὶσ PV γενόμε... ριανὸσ ἐκέλευ... θῆναι P, rell. abscissa charta periere· [7] κράβατον τὸν χαλκοῦν V: χαλκὸν κράβαττον V: κράβατον P, χαλκ. periit νεανίαν: ἐλευθέριον P; om. B [7-8] κατατείνεσθαι ἐκ τεσσάρων: ταθῆναι εἰς τέσσαρα B; ἐκτείνεσθαι ὑπὸ τεσσάρων P [8] omm. BP ἐπὶ τοσοῦτον ἐξαρθρῆσαι-τὰ: ἐξαρμῆσαι αὐτοῦ τὰ B ἐξαρμῶσαι O [8-9] ἐξαρθρῆσαι-μέλη: ἐκ τῶν ἁρμῶν γενέσθαι τὰ τρυφερὰ τῶν μελῶν αὐτοῦ ἄρθρα P [9] μέλη: τῶν μελῶν ἄρθρα B δὲ: τε B συναχθῆσα BO; συνήχθη P ἐπὶ τῇ θέᾳ: πρὸσ τὴν θέαν B; ἐν τῇ θέᾳ P [9-10] ἀγωνιστοῦ + ἐλευθερίου P [10] ἐβόα: καὶ κατεβόα τὸ πλῆθοσ ἅπαν B; καὶ ἐβόησαν πάντεσ P ἀνελεῖν κελ.: ἀνερῆσαι (ἀναιρεῖσθαι P) θέλει BP [11] ἐκέλευσε λυθῆναι τὸν ἐλευθέριον P νομήσασ O: ὡσ νομίζων P; νομίσασ B ἀπέψυξεν: ἤδη ἐξέψυξεν B; ἤδη ἀπέψ. P καὶ: καὶ ἡ B [11-12] ἦν γὰρ-αὐτοῦ: ἦν γὰρ πάνυ στρωμμένη πυρὰ V [12] omm. ὑποκάτω αὐτοῦ PV ὁ δὲ νεανίας: ὁ οὖν μακάριοσ ἐλευθέριοσ B περιεπάτη O; ἀνεπάτει PV; om. B [13] αὐτοῦ: ἀδριανοῦ τοῦ βασιλέωσ B; τοῦ ἀδριανοῦ PV ἐκτείνας: ἐφαπλώσασ B τὴν χ. + αὐτοῦ P: τὰς χεῖρασ αὐτοῦ V εἶπεν: ὁ ἐλευθέριοσ εἶπεν P μέγας: μ. ἐστὶν BPV [14] παῦλοσ καὶ πέτροσ P ἐνθάδε: ἐνταῦθα B (post ὃν) V ἐκήρυξαν B δι' οὗ: διῶν B [14-15] om. ἐποίησαν κ. ἰάσεις O ἰάσεις πολλὰς V [15] ἀλάστωρα σήμωνα O; ἀλάστορα σίμονα BV [16] σέβεται ὗν V om. νῦν V; omm. δὲ BP ὁρᾶται BO [17] ὅσας: οἵασ BPV.

5. Ἀδριανὸς οὖν πάλιν ἐκέλευσεν ἐνεχθῆναι ἐσχάραν καὶ ὑποστρωθῆναι πυρὰν καὶ ἐπιχεθῆναι ἔλαιον. καὶ λέγει τῷ Ἐλευθερίῳ· Τίμησον ἑαυτόν, μὰ τὸν μέγαν Ἥλιον καὶ τοὺς θεοὺς ἅπαντας, ἀντέχομαί σου ὡς τέκνου ἰδίου. Ἐλευθέριος εἶπεν· Λύκε τῆς Ἀραβίας, ἔστω τὰ ῥήματά σου μετά σου εἰς κρίσιν. ἐμὲ δὲ οὐ μεταβάλλεις ἀπὸ τῆς διανοίας μου, ἥσπερ ἐκτησάμην ἐκ νεότητός μου, φοβεῖσθαι τὸν κύριον. τότε ἐκέλευσεν ὁ Ἀδριανὸς ἀπολυθέντα τὸν Ἐλευθέριον ὑπὸ τῶν δορυφόρων ἀχθῆναι ἐπὶ τὴν ἐσχάραν. καὶ εὐθέως τὸ πῦρ ἐσβέσθη καὶ ὁ μόλιβδος ἐψυχράνθη σὺν τῇ ἐσχάρᾳ. καὶ οὕτως πάλιν μὴ φέρων ὁ Ἀδριανὸς τὴν ὕβριν τοῦ παιδός, ἐκέλευσεν ἐνεχθῆναι τήγανον καὶ ἀναφθῆναι πυράν, ἐμβληθῆναι δὲ ἐν τῷ τηγάνῳ πίσσαν καὶ κηρὸν καὶ στέαρ. οἱ δὲ δορυφόροι θᾶττον τοῦ δέοντος τὸ ἔργον ἐξετέλουν. θεωρήσας δὲ ὁ μακάριος νεανίας τὴν φλόγα σφοδράν, ὡς νέαν μὲν ἄγων τὴν ἡλικίαν, γηραλαῖον δὲ τὸ φρόνημα πρὸς θεὸν κεκτημένος, εὐθέως ἀναπηδήσας ἐπὶ τὸ τήγανον βρασμοῦ ὄντος μεγάλου ἀνεπαύετο ὡς ἐπὶ δρόσον τὴν ἐξ οὐρανοῦ καταβαίνουσαν ἐπὶ χλόην. εἶπεν δὲ τῷ Ἀδριανῷ· Τύραννε, τάφε ἀνεῳγμένε, εἰ σαρκῶν χρείαν ἔχεις καὶ αἵματος, ἀπολάμβανε τὴν μερίδα μετὰ τοῦ πατρός σου τοῦ σατανᾶ.

1 πάλιν οὖν ὁ ἀδριανὸσ ἐκέλ. B; πάλιν ὁ ἀδριανὸσ κελεύει (ἐκέλευσεν P) PV αἰσχάραν V ὑποστροθῆναι B 2 πυρὰν: πὺρ B ἐπιχεθῆναι ἔλαιον: ἔλαιον ὑποβληθῆναι B; ἐπιβληθῆναι ἐλέον V ἑαυτόν (+ ἐλευθέριε B) BO: σεαυτὸν (σέαὐτὸν V) PV 3 μέγαν: μακάριον P; γὰρ δεσπότην V ἀντέχομαί σου ὡς τέκνου ἰδίου: τέωσ ἀνέχωμαι σου ὡσ τ. ἰδ. B; ἀντεχόμενόσ σου ὡσ τέκνου παραινῶ σαι V 4 Ἐλευθέριοσ: ὁ δὲ μακάριοσ ἐλ. εἶπεν αὐτῶ P 4-5 τὰ ῥήματά σου ταῦτα. ἔστω σὺν σοὶ εἰσ ἀπώλειαν B; ἔστω τὰ ῥηματά σου ταῦτα (omm. ταῦτα OV) μετὰ σοῦ εἰσ κρίσιν OPV 5 δὲ: γὰρ BP μεταβάλησ B διανοίας μου: πίστεωσ B; om. μου P 5-6 ἐκτισάμην O 6 νεώτητοσ O μου: μου. δι ἧσ ἔμαθον B φοβεῖσθε B κύριον: Ἰησοῦν Χριστόν B; τὸν θεόν P ἀδριαν. ἐκέλ. BP 7 ἀπολυθ. τὸν Ἐλευθ.: αὐτὸν ἀπολυθέντα (ἀπολ. αὐτὸν P) πάλιν BP δωρυφόρων B ἀχθῆναι: εἰσενεχθήναι καὶ ἐπιτεθῆναι B ἐπὶ P; ὑπο O; εἰσ B 8 καὶ εὐθ.: εὐθ. δὲ BP ὁ μόλιβδος: ἡ ἐσχάρα (ἴσχάρα B, suprascr. recent. m. ἑ) BP omm. σὺν τῇ ἐσχ. BP 9 ὁ ἀδριανὸσ μὴ φέρων P; ἀδριανὸσ δὲ μὴ φέρων B, om. πάλιν om. τοῦ παιδός B ἐκέλευσεν: ἐποίησεν B 10 ἀφθῆναι V ἐμβληθ. δὲ: καὶ ἐμβληθῆναι BPV 11 om. καὶ ante κηρὸν B οἱ δὲ: καὶ εὐθέωσ οἱ B δωρυφόροι BV θᾶττον τοῦ λέγοντοσ V; om. B 11-12 τὸ ἔργον ἐξετέλουν: τοῦτο ἐξετέλουν τὸ ἔργον B 12 θεωρίσασ BO; θεασάμενοσ V νεανίας: ἐλευθέριοσ BP om. μακάριος et τὴν φλόγα σφοδράν V; omm. τὴν φλ. σφ. BP ὡς: ὃσ P; ὁ V; om. B 13 τὸ: τὸ πρὸσ Χριστὸν B πρὸς θεὸν: πρὸσ Χριστὸν P; εἰς Χ. V; om. B 14 ἀναπιδήσασ O; ἀνεπήδησεν V: om. B ἐπὶ τὸ τήγανον: ἐν τῶ τηγάνω B; ἐπὶ τῶ τηγάνω P; ἐν τῶι τηγάνωι V cum ι adscr. βρασμοῦ: βρυγμοῦ B ὄντωσ V 14-15 ἀνεπαύετο: καὶ ἀνεπαύετω B; ἀνεπ. δὲ V 15-16 εἶπεν δὲ: καὶ εἶπεν PV 16 τύραννε + καὶ V ἀνεογμέναι O; ἠνεωγμένε V σαρκῶν: σαρ B, sed in marg. add. κῶν 16-17 καὶ αἵματος: τῶν ἐμῶν P; om. V 17 omm. τὴν μερίδα BP μετὰ τοῦ σατανᾶ: καθῶσ καὶ ὁ πατήρ σου ὁ σατανᾶσ ([illegible]τανᾶσ V) BPV σατανᾶσ μεθ᾽ οὗ καὶ τὴν μ[illegible]ρίδα ἔχεισ B.

6. Τότε ὁ Ἀδριανὸς θυμωθεὶς σφόδρα, ἠλλοιώθη τὸ πρόσωπον αὐτοῦ. καὶ προσελθὼν ὁ Κορεβὼρ ὁ ὕπαρχος αὐτοῦ, λέγει αὐτῷ· Αὐτοκράτορ, ἔγνωμεν ὅτι ὑποτέτακταί σοι πᾶν ἔθνος. νῦν οὖν μή σε θροείτω τὸ πῶς ἀπολέσῃς τὸν νεανίαν τοῦτον, ἐγὼ γὰρ ἐξηῦρον ποίᾳ κολάσει ἀναλώσω αὐτόν. ὁ δὲ Ἀδριανὸς περιχαρὴς ἐγένετο, εἶπεν γὰρ ὁ Κορεβώρ· Ποιήσω κλίβανον χαλκοῦν καὶ στήσω ὀβελίσκους ὀξεῖς καὶ ποιήσω τροχιλίσκους καὶ μολιβίσκους ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων, καὶ οὕτως καταναλώσω αὐτὸν τοῖς τροχιλίσκοις ἐν τῷ κλιβάνῳ, ἐκχεῶ γὰρ καὶ ἔλαιον καὶ πυρώσω αὐτὸν σφόδρα. ὁ δὲ Ἐλευθέριος ἀτενίσας εἰς τὸν οὐρανὸν εἶπεν· Κύριε Ἰησοῦ Χριστέ, τὸ φῶς ἡμῶν, ἡ χαρὰ ἡ καθημερινὴ ἡμῶν ἡ οὖσα ἐν ταῖς καρδίαις τῶν ἀγαπώντων σε, καὶ νῦν μὴ συγχωρήσῃς με ἡττηθῆναι τῷ πειρασμῷ ὑπὸ τῆς τούτων ἰσχύος, ἥσπερ ἔχουσι προσκαίρου.

7. Καὶ πάλιν προσελθὼν ὁ Κορεβώρ, ἐκ δευτέρου λέγει τῷ βασιλεῖ· Ἰδοὺ ἀπηρτίσθη τὸ ἔργον τὸ γεγονὸς πρὸς ἀνάλωσιν τοῦ παιδός· ποίαν δὲ ἀδικίαν τῷ κράτει σου προσήγαγεν ὁ νεανίας, ἵνα οὕτως αὐτὸν ἀναλώσῃς; ὁ δὲ Ἀδριανὸς βλοσυρῷ ὄμματι ἐμβλέψας αὐτὸν λέγει· Μὴ

[1] θυμωθεὶσ ὁ ἀδριανὸσ σφόδρα B   ἠλλοιώθη-αὐτοῦ: ἐνήλλαξεν τὸ πρόσ. B; ἠλλοίωσεν τὸ πρόσωπον P; ἠλλοιοῦτο τῶ πρ⟨οσώ⟩πω V   [2] καὶ + ἐγένετο V qui hoc v. abrumpitur; + ἐγένετο ἐμβρηθὴσ ὡσεὶ βρυγμοῦ λέοντοσ P; ἐγένετο ἡ καρδία αὐτοῦ ὡσεὶ βρυγμὸσ λέοντοσ B (v. Prov. 19, 12)   προσελθὼν δὲ BP   ὁ Κορεβὼρ: κορέβων P, encom.   ὕπαρχος O, encom.; ἔπαρχοσ BP   αὐτῷ: τῶ ἀδριανῶ BP   [3] ἔγνωμεν: ἐγνώκαμεν B   πᾶν ἔθνοσ ὑπόκ. σοι B   νῦν οὖν: καὶ νῦν P   [3-4] τὸ πῶς ἀπολ.: τῶ μὴ ἀναλῶσε B; τὸ ἀναλῶσαι P   [4] νεανία O   ἐγὼ γὰρ ἐξ.: νῦν γὰρ ἔγνων ἐγὼ B; νῦν γὰρ ἐγὼ ἐξεῦρον P   ἀναλόσω O; εὑρήσασ (ασ in rasura alia m.) ἀναλώσω B   [5] Ἀδριανὸς περιχαρεὶσ ἐγένετο O; ἀδριανοῦ δὲ περιχαρὶσ γενομένου B   κορέβωρ εἶπεν B, om. γὰρ; εἶπ. γ. αὐτῶ κορέβων ὁ ἔπαρχοσ P   Ποιήσω: ποίησον B   [6] χαλκέον B   καὶ pr. iteravit O   om. ὀξεῖς-τροχιλ. B; om. τροχιλ. καὶ μολ. P   [7] ἐκ δεξιῶν καὶ ἐξ εὐωνύμων: δεξιᾶ τε καὶ εὐώνυμα B; ante καὶ ἐξ εὐων. P scripserat καὶ ἐξ τῶν   om. καὶ ante οὕτως B   [7-8] καταναλώσω (καταναλόσω O; καταχαλάσω τὸν νεανίαν τροχηλίσκοισ P)-κλιβάνῳ: οὕτως ἐν τῶ κλιβάνω ἀναλώσω B   [8] πυρόσω O   αὐτὸ O; αὐτὸν BP   [9] σφόδρα: στοδρῶσ BP; post σφόδρα P inserit καὶ ἤρεσαν οἱ λόγοι ἐνώπιον τοῦ βασιλέωσ   δὲ: δὲ ἅγιοσ B   ἀτενίσασ: ἑστὼσ ἠτένιζεν... καὶ εἶπεν P   [10] φῶς ἡμῶν: φ. τὸ ἡμέτερον B   ἡ χαρὰ-ἡμῶν: ἡ χαρμονὴ ἡμῶν B   om. ἡμῶν P   [11] ἀγαπόντων σε BO; ἡμῶν P   συγχωρίσεισ BO   με: με τὸν μικρὸν B; με τὸν μειρακίσκον P   [11-12] om. τῷ πειρ. B   [12] τούτων προσκαίρου ἰσχύοσ ἧσ παρέχουσιν B; τούτ. ἰσχ. ἣ ἔχουσι πρόσκαιρον P   [13] Καὶ πάλιν προσ.: προσελθὼν δὲ B; καὶ προσῆλθεν P   ὁ Κορ.: ὁ ἔπαρχοσ κορέβωρ B; κορέβων ὁ ἐπ. P   λέγων τῶ ἀδριανῶ P, om. (l. 14) Ἰδοὺ   [14] γεγονὼσ BO   παιδὸς + τούτου· καὶ πάλιν ὁ ἔπαρχοσ εἶπεν τῶ ἀδριανῶ P   [15] om. δὲ P   [14-16] παιδός-ἀναλώσῃ (προσήγαγε τῶ σῶ κράτει ὁ νεανίασ οὗτοσ. ἵνα οὕτωσ ἀναλῶσαι αὐτὸν θελήσησ P): ἄφνω δὲ φρονήματι πίστεωσ ἐκ τῆσ εὐχῆσ τοῦ ἁγίου μεταβληθεὶσ εἰσ εὐσέβειαν. πρὸ τῆσ ἀποκρίσεωσ τοῦ βασιλέωσ. ὁ κορέβωρ εἶπεν· ποίαν γὰρ πεποίηκεν ἀδικίαν τῶ κράτει σου οὗτοσ ὁ νέοσ ὅτι οὗτοσ αὐτὸν ἀναλίσκεισ B   [16] om. ὁ δὲ B   βλωσυρῶ O   [16] βλοσυρῷ-λέγει: χολέσασ προσ (sic) αὐτὸν εἶπεν αὐτῶ B; ἀντώπισεν αὐτῶ καὶ εἶπεν P.

χρυσίον παρὰ τῆς μητρὸς αὐτοῦ λαβὼν ἐπείσθης τὸν ὑπὲρ αὐτοῦ λόγον ποιήσασθαι; οὐχὶ ἐγώ σοι ἔδωκα τὴν ἐξουσίαν περιέπειν τῶν ὑπάρχων; ὅσον ἂν βούλῃ χρυσὸν λάβε παρ' ἐμοὶ καὶ κτήματα ὅσα ἂν αἰτήσῃ. ὁ δὲ Κορεβὼρ ὁ ὕπαρχος ἀνεβόησε φωνῇ μεγάλῃ λέγων· Αὕτη ἡ τιμή σου ἡ πρόσκαιρος τοῦ κόσμου τούτου εἴη εἰς ἀπώλειάν σου, ἐγὼ γὰρ βούλομαι ζῶντι θεῷ δουλεύειν. ἄγαγε δὲ ἕνα τῶν στρατιωτῶν σου καὶ βάλε αὐτὸν ἐν τῷ πυρί, ἢ τῷ ξίφει ἀναιρεθῆναι κέλευσον, καὶ ἐὰν ἰσχύσωσιν οἱ θεοὶ τοῦ ζωοποιῆσαι αὐτόν, πιστεύσωμεν αὐτοῖς ὅτι εἰσὶν δυνατοί, εἰ δὲ μή, πιστεύσωμεν τῷ θεῷ τῷ διὰ Ἐλευθερίου κηρυσσομένῳ, ὅτι πολλὰ ἰσχύει καὶ ἐκ πολλῶν θανάτων ῥύεται τοὺς φοβουμένους αὐτόν. νῦν οὖν, βασιλεῦ Ἀδριανέ, ⟨οὐ γινώσκεις⟩ ὅτι πάντα τὰ ἔθνη ἐπίκεινταί σοι καὶ ἕτοιμά εἰσιν πρὸς τὸ πολεμεῖν σε, καὶ σὺ ἐνταῦθα καθέζῃ ὑπὸ ἑνὸς μειρακίου ἡττώμενος. θυμωθεὶς δὲ ὁ Ἀδριανὸς ἐκέλευσεν αὐτὸν βληθῆναι ἐν τῷ κλιβάνῳ ὃν αὐτὸς κατεσκεύασεν. ὁ δὲ Κορεβὼρ βαλλόμενος ἐν τῷ κλιβάνῳ ἔλεγεν φωνῇ μεγάλῃ· Ἐλευθέριε, εὖξαι τῷ θεῷ ἡμῶν σφοδρῶς καὶ δός μοι τὴν ἐν Χριστῷ σφραγίδα, ἣν ἔδωκας Φίλικι τῷ στρατηλάτῃ, ὅπως κἀγὼ λάβω τὴν χάριν καὶ τὴν δύναμιν τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. ἦν γὰρ πλησθεὶς ὁ Κορεβὼρ πνεύ-

1 χρυσίον παρὰ τῆς μητρὸς αὐτοῦ λαβών: χ. λαβὼν πολὺ παρὰ τῆσ τούτου μητρὸσ *B*; χρυσὸν λαβὼν παρὰ τῆσ μητρὸσ τοῦ παιδὸσ τούτου *P* ἐπίσθεισ *B* αὐτοῦ: τούτου *B* 2 ἔδωκά σοι ἐγὼ *BP* (om. *P* ἐγὼ) τὴν ἐξουσ. περιέπ. (διέπειν *P*) τὸν ὕπαρχον (τὸν ἔπαρχον *P*) *OP*; τὴν ἐπάρχων διέπειν ἐξουσίαν *B* ὅσα ἐὰν *P* qui praem. cum *B* καὶ νῦν 3 βούλει *OP* χρυσὸν: ἀργύριον ἢ χρυσίον *B*; χρυσὸν ἢ ἄργυρον *P* ἐμοῦ *P* ἂν: ἐὰν *P* αἰτήσησ *P*; ἀητήσει *O* ὁ δὲ ἔπαρχοσ κορέβων *P* 4 om. ὁ ὕπ. *B* Αὕτη: εἴτω *P* 5 om. εἴη *B* ἀπολιάν *O* 4-5 Αὕτη-σου: ἥτοσοι ἡ τοῦ κόσμου τούτου τιμὴ ἡ πρόσκαιροσ εἰσ απώλιαν *B* 5 βούλωμαι *O* 5-6 ἐγὼ γὰρ-δουλεύειν: εἰ δὲ βούλει γνῶναι τὴν δύναμιν τῶν θεῶν σου (om. τὴν-σου *B*) ἄγαγε (ποίησον *B*) ἕνα *BP* 7 ἰσχύσωσιν: βοηθήσωσιν αὐτῶ *BP* 6-8 καὶ βάλε-ζωοποιῆσαι αὐτόν: ἀχθῆναι καὶ ἐμβληθῆναι αὐτὸν ἐν τῶ πυρὶ. καὶ βοηθήσωσιν αὐτῶ οἱ θεοί σου τοῦ ζοωποιῆσαι. καὶ πιστεύσωμεν *B* 7-8 om. τοῦ ζωοπ. αὐτὸν *P* 8-9 εἰ δὲ μή-κηρυσσωμένω (sic *O*), ὅτι: πιστεύσωμεν οὖν τῶ θεῶ τῶ κηρυττωμένω ὑπὸ ἐλευθερίου ὅτι *B* 9 διὰ: ὑπὸ *BP* ἰσχύη *O* 10-11 νῦν-ὅτι (om. οὐ γινώσκεις *O*) πάντα: σὺ δὲ ἀδριανὲ βασιλεῦ (βασιλεύων *B*) νῦν. οὐ γινώσκεισ (οὐκ οἶδασ *B*) ὅτι πάντα *BP* 11 ἐπίκεινταί σοι: κατεπίκειται *B*; κατεπίκεινταί σε *P* 11-12 τὸ πολεμεῖν: πόλεμον *BP* 12 σε: σοι *O* ὑπὸ ἑνὸς μηρακίου ἡττόμενοσ *O*: καὶ τάχα ἡ βασιλεία σου ὑπὸ ἑνὸσ μιρακίσκου ἡττωμένη νικᾶται *B* 13 ὁ Ἀδριανὸς: ὁ ἀδριανὸσ (om. ὁ *B*) σφόδρα *BP* κλιβάνῳ: κλιβ. ὑπὸ τῶν δορυφόρων *BP*, qui omm. ὃν-κατεσκ. 14 ἔλεγεν: ἀνεφώνησεν... λέγων *B* ὁ δὲ-μεγάλῃ: καὶ ἀνεβόησε λέγων κορέβων ὁ ἔπαρχοσ *P* 14-15 Ἐλευθέριε in *B* post θεῷ, om. ἡμῶν; om. Ἐλευθ. et ἡμῶν *P* 15 εὖξε *O* Χριστῷ: κυρίω *B* ἣν: ἥνπερ *P* 16 Φίλικι: καὶ φίληκι *P* λάβω: λαβὼν *P* 16-17 τὴν χάριν-Χριστοῦ: τὴν δύναμιν καὶ τὴν χάριν τοῦ κυρίου (om. τοῦ κυρ. *B*) ἰησοῦ χριστοῦ. νικήσω τοῦ ἀντικειμένου (ἀντικιμ. *B*) τυράννου τὴν (τὴν in *B* ante τοῦ) δύναμιν *BP* 17 γὰρ: γὰρ καὶ *B* πλησθεὶσ (πλεισθὴσ *O*) ὁ κορεβὼρ (κορέβων *P*) *OP*; ὁ κορέβωρ πλησθεὶσ *B*.

ματος ἁγίου. ἐμβληθέντος δὲ αὐτοῦ ἐν τῷ κλιβάνῳ καὶ μὴ ἀψαμένου αὐτοῦ τοῦ πυρός, ἐκέλευσεν αὐτὸν τραχηλοκοπηθῆναι καὶ ἐνεχθῆναι τὴν κεφαλὴν αὐτοῦ ἐνώπιον αὐτοῦ πάντων ὁρώντων, εἶτα τὸν Ἐλευθέριον βληθῆναι ἐν τῷ κλιβάνῳ ᾧ ἦν κατασκευάσας ὁ Κορεβώρ. ἐμβληθέντος δὲ τοῦ ἁγίου Ἐλευθερίου ἐν αὐτῷ, ἡ φλὸξ ἐσβέσθη τοῦ πυρὸς καὶ οἱ ὀβελίσκοι ἐστράφησαν καὶ οἱ τροχιλίσκοι ἀπεσπάσθησαν καὶ οἱ μολιβίσκοι ἐφανίσθησαν ὑπὸ τοῦ πυρός, θεωροῦντος τοῦ Ἀδριανοῦ. καὶ πάντες οἱ τῆς Ῥώμης θεωροῦντες τὰ γεγενημένα ἔδωκαν δόξαν τῷ θεῷ τῷ τοιαύτην δόξαν παρέχοντι τοῖς ἀγαπῶσιν αὐτόν.

8. *Θυμοῦ δὲ πλησθεὶς ὁ Ἀδριανὸς περιείλατο τὴν πορφύραν, ἐμβριμούμενος ἑαυτῷ καὶ τῇ ἰδίᾳ αὐτοῦ προαιρέσει διὰ τὸ ἡττᾶσθαι αὐτὸν ὑπὸ τοῦ παιδός. καὶ καλέσας τοὺς στρατηλάτας αὐτοῦ συμβουλείας χάριν ἐπὶ τὸ αὐτό, ἔλεγεν αὐτοῖς· Πῶς δεῖ ἀναλωθῆναι τὸν νεανίαν τοῦτον; τοῦ δὲ ἁγίου ἐν τῇ φρουρᾷ ὑπάρχοντος καὶ ἤδη πολλὰς ἡμέρας τροφὴν μὴ δεξαμένου αὐτοῦ, περιστερὰ λαβοῦσα τροφὴν ἤνεγκεν αὐτῷ, ὥστε κορεσθῆναι αὐτόν. καὶ οὕτως εὐχαριστήσας εἶπεν· Εὐλογητὸς εἶ, ὁ θεός, ὁ τρέφων με ἐκ νεότητός μου, ὁ ἀποστείλας Ἠλίᾳ τῷ προφήτῃ τροφὴν διὰ πτηνοῦ,*

1-2 ἐμβληθέντος (ἐμβλιθ. *O*) - ἐκέλευσεν: ὡσ δὲ οὐχίψατο αὐτὸ τὸ πῦρ ἐκ. *B*; λαβόντοσ οὖν αὐτοῦ τὴν ἐν χριστῶ σφραγίδα. ἐνέβαλον αὐτὸν ἐν τῶ κλιβάνω ὧ, αὐτὸσ κατεσκεύασεν. τοῦ δὲ πυρὸσ μὴ ἀψαμένου αὐτοῦ. ἐκέλευσεν ὁ ἀδριανὸσ *P* 2 αὐτὸν: αὐτὸν ὁ ἀδριανὸσ ἀχθέντα *B* 2-3 αὐτὸν τραχηλοκοπηθῆναι (-πιθῆναι *O*) - ὁρώντων (ὁρόντων *O*): τραχηλοκοπηθῆναι πάντων ὁρώντων *B*; τραχ. αὐτὸν ἐναντίον τῶν βλεπόντων *P* 3-4 omm. εἶτα - Κορεβὼρ *BP* 4 ᾧ: ἐν ᾧ *O* ἐμβλιθέντοσ *O* om. ἁγίου *B* 4-5 τοῦ δὲ ἁγίου ἐλευθ. ἐμβλ. *P* 5 αὐτῷ: τῶ κλιβάνω ὧ κατεσκεύασεν κορέβων (ὁ κορέβωρ *B*) ὁ ἔπαρχοσ (om. ὁ ἔπ. *B*) *BP* ἡ φλὸξ ἐσβέσθη: εὐθέωσ ἡ θέρμη ἐ. *B*; εὐθέως ἡ φλὸξ τοῦ πυρὸς ἐ. *P* 5-6 ἐστράφ. - ἀπεσπάσθ.: ἐστράφησαν (ἀπεστράφησαν *P*) καὶ οἱ τροχηλίσκοι (τροχίσκοι *P*) ἀπεσπάσθησαν *BP* ὀβελεῖσκοι *B* ἐφανίσθησαν: ἀφανεῖσ ἐγένοντο *BP* 7 om. θεωρ. τοῦ Ἀδρ. *B* 7-8 θεωροῦντος - θεῷ: θεωροῦντοσ οὖν τοῦ ἀδριανοῦ καὶ πάσης τῆς ῥώμησ τὰ γινόμενα. πάντεσ ῥωμαῖοι ἔδωκαν δόξαν τῶ θεῶ *P* 7-9 καὶ πάντες - παρέχοντι: θεωρήσαντεσ δὲ οἱ ῥωμαῖοι πάντα τὰ γενώμενα ὑπο ἀδριανοῦ. δόξαν ἔδωκαν τῶ θεῶ τῶ παρασχόντι δύναμιν τοιαύτην *B* 10 θυμοῦ δὲ πλ. ὁ Ἀδρ.: θυμωθεὶσ δὲ ὁ ἀδρ. *B*; ἀλογισθεὶσ δὲ ὁ ἀδριανὸσ καὶ θυμωθεὶσ σφόδρα διὰ τὴν φωνὴν τῶν ῥωμαίων. καὶ ὅτι ἦν ἡττώμενοσ ὑπὸ τοῦ παιδὸσ *P* 10-11 ἐμβριμώμενοσ *P*, om. ἑαυτῷ - παιδός 12 συμβουλίασ *O* 12-14 καὶ καλέσας - ὑπάρχοντος: ἐκάλεσε δὲ τοὺς στρατηλάτας αὐτοῦ συμβουλείασ χάριν. τὸ πῶσ ἀναλώσει τὸν μακάριον ἐλευθέριον· ἐν φρουρᾶ δὲ ὄντοσ τοῦ μακαρίου ἐλευθερίου *P* 10-13 ὁ Ἀδριανὸς - νεανίαν τοῦτον: ὁ ἀδριανὸσ καὶ λυπηθεῖσ σφοδρῶσ ἡττόμενοσ ὑπὸ τοῦ μακαρίου. καὶ εἰσεπίδησεν ἐν τῶ παλατίω ἐμβριμούμενοσ τῆ ἑαυτοῦ προαιρέσει διότι ἡττήθη· ἐκάλεσεν δὲ τοὺσ ἑαυτοῦ στρατηλάτασ συμβουλίασ χάριν σκεπτόμενοσ. πῶσ ἀναλῶσιν τὸν νέον· ἐν φρουρᾶ δὲ ὄντωσ τοῦ μακαρίου ἐλευθερίου *B* 14 ἡμέρασ πολλὰσ *B* 13-14 δεξαμένου: γευσαμένου *P* 15 omm. αὐτοῦ *BP* τροφὴν: τροφὴν τινὰ *B* ἤνεγκεν: ἀπήνεγκεν *BP* ὥστε: ὡσ *B* 16 οὕτως om. *B* εἶπεν: ἤρξατο οὕτω λέγειν *B* εὐλογητὼσ *O* om. εἶ *B* 17 om. με *B* νεώτητοσ *O* μου: τοὺς ἀγαπῶντας σε *B* προφῆτι *O*.

ὁ ἀποστείλας τροφὴν ἐν λάκκῳ λεόντων τῷ Δανιήλ. ἐκόρεσάς με τῆς ἐπιγείου σου τροφῆς καὶ τῆς οὐρανίου σου χάριτος, καὶ διὰ τοῦτο δοξάζω σε εἰς τοὺς αἰῶνας. ἀμήν. ἐκέλευσεν δὲ ὁ Ἀδριανὸς ἀχθῆναι πώλους ἀγρίους καὶ ἅρμα καὶ ζευχθῆναι αὐτοὺς τῷ ἅρματι καὶ γενέσθαι αὐτοῖς τρυπανίσκους ὀξεῖς πεπυρωμένους, ἵνα προσδεθέντος τῷ ἅρματι τοῦ μακαρίου παιδός, βιαίᾳ δυνάμει ἐξαρπάσωσιν αὐτὸν διὰ ἐρήμου ὁδοῦ καὶ διέλωσι τὰ τρυφερὰ τοῦ σώματος αὐτοῦ μέλη. εὐθέως οὖν ἄγγελος κυρίου ἐπελάβετο τοῦ Ἐλευθερίου καὶ λύσας αὐτὸν ἐκάθισεν ἐπὶ τοῦ ἅρματος. οἱ δὲ πῶλοι ἀπήγαγον αὐτὸν ἐπὶ τοῦ ὄρους τοῦ ὑψηλοῦ καὶ ἡ χάρις τοῦ θεοῦ ἦν συνακολουθοῦσα αὐτῷ. κατελθόντος δὲ αὐτοῦ ἀπὸ τοῦ ἅρματος, εὐθέως αἱ κηρίαι τῶν πώλων ἀπεσπάσθησαν. καὶ καθίσας ἐφ' ὑψηλοῦ τόπου τινὸς ἐδίδασκεν τὸν λόγον τῆς ἀληθείας, ὥστε θαυμάζειν πάντες, οὐ μήν, ἀλλὰ καὶ συναχθῆναι πάντα τὰ ἄγρια ζῷα, ἔλαφοί τε καὶ σύαι ἄγριαι, λέοντες καὶ παρδάλεις. καὶ ἅπαξ ἁπλῶς πᾶν ἄγριον ζῷον φωνῇ τὸν ἔπαινον ἀποδοῦναι μὴ δυνάμενον, ἕκαστον τὸν δεξιὸν πόδα ἐπαῖρον ηὐλόγει τὸν θεόν.

Pag. 156[17]-157[3] *ἀποστείλας-ἀμήν*: *ἀποστείλασ τροφὴν τῷ ἠλία* (*ἠλία τροφὴν B*) *ἐν ὄρεσι διὰ πετεινοῦ* (*-ῶν B* qui add. *καὶ τῷ δανιὴλ τροφὴν ἐν λάκκω λεόντων*) *καὶ νῦν οὐχ ὑπερίδεσ* (*ὁ μὴ ὑπεριδὼν ἐμὲ B*) *τὸν δοῦλον σου. ἀλλὰ ἐκόρεσάσ με* (*κορέσασ B*) *τῆσ ἐπουρανίου τροφῆσ καὶ χάριτοσ* (*τῆσ σῆσ ἐναρέτου χάριτοσ· καὶ ποιήσασ τῆσ ἐπουρανίου τροφῆσ ἀπολαύσαντα B*). *καὶ κατηξίωσάσ με* (om. *B*) *δοῦναι αἶνον τῷ ὄντι* (*τῷ εὐλογημένω B*) *θεῷ εἰσ τοὺσ αἰῶνασ* (+ *τῶν αἰώνων B*) *ἀμήν BP* [3] *σε*: *σαι O* *πόλουσ O* [3-5] *ἀχθῆναι-ἅρματι*: *πώλουσ ἀγρίουσ ἀχθῆναι καὶ ζευχθῆναι ἅρμα B* [4] om. *αὐτοῖς B* [5] *ὀξεῖς*: *ὀξ. καὶ B* *πεπυρομένουσ O*; *πεπυρομένουσ προσαχθῆναι τοῖσ πώλοισ B* *ἵνα*: *ὅπωσ B* [5-6] om. *τοῦ μακαρίου παιδός B* [3-7] post *ἀμήν P* ita pergit *συμβούλιον δὲ λαβὼν ὁ βασιλεὺσ μετὰ τῶν στρατηλατῶν. ἐκέλευσεν ἐνεχθῆναι πώλουσ ἀγρίουσ καὶ ἅρματι ζευχθῆναι. ἵνα προσδεθέντοσ τοῦ ἐλευθερίου βίᾳ καὶ δυνάμει ἐξαρπάσαντεσ οἱ πῶλοι ἀποκτείνωσιν αὐτόν· προσδεθέντοσ δὲ τοῦ μακαρίου τοὺσ τρυπανίσκουσ προσήγαγον τοῖσ πώλοισ. ὅπωσ ἐξαρπάσαντεσ διὰ ναπῶν ἀγρίων. διέλωσιν τὰ τρυφερὰ αὐτοῦ μέλη P* [6-7] *βιαίᾳ-μέλη*: *βία. ὡσ ἁρπάσωσιν τὸν μακάριον ἐλευθέριον· προσδεθέντοσ δὲ αὐτοῦ ὀπισθάγκωνα. καὶ τῶν τρυπανίσκων προσαχθέντων τοῖσ πώλοισ. ὅπωσ δια νάπων ἀγρίων διέλωσιν τὰ τρυφερὰ αὐτοῦ μέλη B* [7] *οὖν*: *δὲ P*, om. *B* *κυρίου*: *θεοῦ B* [8] *ἐπελάβετο*: *ἐπιλαβόμενοσ B* *τὸν μακάριον ἐλευθέριον P* *ἐκάθησεν BO* [9] *πῶλοι* (*πόλοι B*) + *μετὰ πραΰτητοσ P* *ἀπήγαγον-ὑψηλοῦ*: *εἰσ τὴν ἔρημον ἀπήγαγον αὐτὸν πράωσ ὡσ ἐπὶ θρόνου ὑψηλοῦ B* *ὄρουσ ὑψ. P*, om. *τοῦ* [9-10] *ἦν* post *κα B*; *ἦν δὲ P* [10] om. *δὲ B* *κατελθόντος-ἀπὸ*: *καὶ κατελθόντοσ τοῦ ἐλευθερίου ἀπὸ P* [11] *αἱ κηρίαι τῶν πώλων* (*πόλων O*) *ἀπεσπ.*: *αἱ κ. ἐλύθησαν ἀπὸ τῶν πώλων B*; *αἱ κηρέαι τῶν ποδῶν ἀπεσπάσθησαν P* *καθήσασ BO* *ἐφ' ὑψηλοῦ τόπου*: *ἐπὶ θρόνου ὑψηλοῦ B*, om. *P* [12] *ἀληθείας*: *εὐσεβείασ B* *πάντασ O* [12-13] *ὥστε-συναχθῆναι*: *ὥστε συναχθῆναι πρὸσ αὐτὸν τῇ κελεύσει τοῦ θεοῦ B*; om. *θαυμάζειν-ἀλλὰ καὶ P* [13-14] *ἔλαφοι-παρδάλεις*: *λέοντεσ* (*λέοντασ καὶ P*) *παρδάλεισ. ἐλάφουσ τε καὶ συάγρουσ BP* [14-15] *καὶ ἅπαξ-θεόν*: *καὶ ἀκούειν τὸν λόγον τοῦ θεοῦ τοῦ κτήσαντοσ τὰ πάντα· καὶ τὰ μὲν ἄγρια ζῶα μὴ δυνάμενα φωνὴν δοῦναι τὸν ἔπαινον. ἐπέροντα τὸν δεξιὸν πόδα ηὐλόγη. καὶ τοῦ σέβουσ τὸν ἔπαινον ἐδίδου B*; *τὰ δὲ ἄγρια ζῶα φωνῇ τὸν αἶνον δοῦναι μὴ δυνάμενα. ἕκαστον ἐπάραν τὸν δεξιὸν πόδα. εὐλόγουν τὸν πεποιηκότα τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ πάντα τὰ ἐν αὐτοῖσ P* [15] *ηὐλογη O.*

9. Ἀπέστειλεν δὲ ὁ Ἀδριανὸς θηρᾶσαι λέοντας ἐν τοῖς κυνηγίοις Ῥώμης, οἵτινες προσεγγίσαντες τῷ ὄρει ἐθεώρουν τὸν μακάριον Ἐλευθέριον καθεζόμενον τά τε πάντα ἄγρια ζῷα παρεστῶτα αὐτῷ. καὶ καταπηδήσαντες εἰς τὴν πόλιν, ἀπήγγειλαν ἃ ἴδον. Ἀδριανὸς δὲ ἀπέστειλεν στρατιώτας ξιφήρεις συλλαβεῖν τὸν Ἐλευθέριον, ὅτι οὐ μόνον τὴν τῶν ἀνθρώπων φύσιν ἐποίησεν πιστεύειν τῷ θεῷ αὐτοῦ, ἀλλὰ καὶ τὴν τῶν ἀγρίων ζῴων προαίρεσιν μετήγαγε σέβεσθαι τὸν αὐτοῦ θεόν. ἐλθόντες δὲ οἱ ἀπεσταλμένοι στρατηλάται ὑπὸ τοῦ Ἀδριανοῦ ἐκύκλασαν τὸ ὄρος· καὶ πάντα τὰ ἄγρια ζῷα ὥρμησαν εἰς αὐτούς. ὁ δὲ Ἐλευθέριος κατεπράϋνεν αὐτὰ λέγων· Ἐν τῷ ὀνόματι Ἰησοῦ Χριστοῦ πορεύεσθε ἕκαστον εἰς τὸν τόπον τὸν ἴδιον μηδένα βλάψαντα. τοῖς δὲ ἀποσταλεῖσιν εἶπεν· Ἀδελφοί, οὐχὶ μεθ᾽ ὑμῶν εἰμὶ ἀδιαλείπτως; τί οὖν ἤλθατε ἐπ᾽ ἐμὲ μετὰ ξίφους ὡς ἀδικήσαντός μου τινά; νῦν οὖν πείσθητέ μοι καὶ πιστεύσατε τῷ ὀνόματι τοῦ θεοῦ μου, οὐ τῷ ἐμῷ ὀνόματι. εἰ γὰρ ἀδικία τις γένηται ἐξ ἐμοῦ, δῆλον ὅτι ὁ θεός μου τοιούτους οὐκ ἀγαπᾷ, ἀλλὰ τῇ ἰδίᾳ χειρὶ ἐπιθάλπει, εὐφραίνει, κατακοσμεῖ, εὐεργετεῖ, εἰς ὁδὸν εἰρήνης ἱστῶν τὰ διαβήματα τῶν πιστευόντων

[1] ὁ δὲ ἀδριανὸσ ἀπέστειλε θηρᾶσθαι P κυνηγείοισ B; κεινηγίοισ O [2] οἵτινες-ἐθεώρουν: πρὸσ ἀνάλωσιν τοῦ μάρτυροσ καὶ ἀπέστειλην ἐπαὐτόν· ἀπελθόντεσ δὲ οἱ ἐν τῶ ὄρει ἀποσταλέντεσ ἐθεάσαντο B προσελθόντες P om. μακάριον P [3] πάντα post αὐτῷ B; καὶ τὰ πάντα P [3-4] καὶ καταπιδήσαντεσ O; καὶ ἐκπηδήσαντεσ B; καταπηδήσαντεσ δὲ P [4] omm. εἰς τὴν πόλιν BP ἀπήγγειλαν ἃ ἴδον: ἀπήγγειλαν τῶ ἀδριανῶ πάντα ὅσα ἴδον B; ἀπήγγειλαν ἅπαντα ἃ ἴδον P Ἀδρ. δὲ: ὁ δὲ ἀδρ. B [4-5] στρατιώτας: στρατηλάτασ B [5] συλλαβέσθαι B; ἐπὶ τὸ συλλαβέσθαι P τὸν Ἐλ.: τὸν μακάριον ἐλευθ. P ὅτι: λέγων ὅτι BP [6] φύσιν-αὐτοῦ: προαίρεσιν ἔπεισεν· τῶ ἰδίω θεῶ πιστεύειν B; φύσιν ἔπεισεν πιστεύειν τῶ ἰδίω θεῶ P om. τὴν post καὶ B [7] προαίρεσιν: τὴν φύσιν B μετ. σέβεσθαι τὸν αὐτοῦ θ.: μετ. τὸν ἴδιον αὐτοῦ θεὸν σέβεσθαι B; μετήγαγεν εἰσ τὸν ἴδιον θεὸν τοῦ σέβεσθαι αὐτόν B ἐλθόντες: ἀπελθόντες BP [7-8] ἀπεσταλμένοι στρατηλάται: οἱ στρατιῶται οἱ ἀποσταλέντεσ παρὰ τοῦ ἀδριανοῦ P [8] ἐκύκλωσαν τῶ B; ἐκύκλωσαν ἅπαν τὸ P [8-9] τὰ δὲ ζῶα ἅπαντα B; τὰ δὲ ἄγρ. ζ. P [9] ὅρμησαν OP; ὥρμησεν B εἰς: ἐπ᾽ BP δὲ: δὲ ἅγιοσ B [10] πορεύεσθε: πορευθήτω B; πορεύθητε P [10-11] εἰς τὸν τόπον τὸν ἴδ. μηδένα (μὴδ ἕνα O) βλάψ.: ἐν τῶ ἰδίω τόπω μὴ βλάψαντα τινὰ B; εἰσ τὸν ἴδιον τόπον καὶ μὴ βλάψητε τινά P [11] ἀποσταλῆσιν O [12] εἰμὴ ἀδιαλήπτωσ O [11-13] τοῖς δὲ-τινά: τοῖσ δὲ στρατιώταισ εἶπεν ὁ μακάριοσ ἐλευθέριοσ (καὶ τοῖσ ἀπεσταλμένοισ ἤρξατο λέγειν B) · τεκνία μου (om. μου B) οὐχὶ (οὐ B) μεθ᾽ ὑμῶν ἤμην (ἤμιν B) ὡσ μυῖα (μυῖα B) μικρά; τί οὖν (νῦν B) μετὰ ξιφῶν ἐπήλθετέ μοι (ἀπήλθατε B, om. μοι) ὡσ ἀδικήσαντόσ (ἀδικίσ. B) μου τινά (τί B) BP [13] πίσθηται B; πείσθηται O [13-14] τῶ θεῶ μου B, om. οὐ τῷ ἐμῷ ὀνόματι [14] οὐ: οὐχὶ P τῷ ἐμῷ ὀνόματι: τῶ ὀνόματί μου. ἀλλὰ τῆ δυνάμει τοῦ θεοῦ P εἰ: εἰ μὲν B γένηται: γεγένηται P ὅτι + καὶ (compendio scr.) P [15] ἀλλὰ τῇ ἰδίᾳ χειρὶ: ἰδία δὲ χάριτι P [14-16] ἐξ ἐμοῦ-ὁδὸν: ἐξ ἐμοῦ γέγωνεν καὶ διατοῦτο διώκεταί με. δῆλόν ἐστιν ὅτι καὶ ὁ θεόσ μου τοιούτουσ οὐκ ἀγαπᾶ. αὐτὸσ δὲ τῆ ἰδία χάριτι πάντασ ἡμᾶσ τρέφει, θάλπει. ὁδιγεῖ. συνετίζει. ὑπὲρμάχεται καὶ κατευθύνει εἰσ ὁδὸν B [16] om. ἱστῶν et (p. 159, 1) αὐτῷ P.

αὐτῷ. καὶ ὑμεῖς πιστεύσατε τῷ θεῷ καὶ μακάριοι ἔσεσθε. ὅμως ἐφ' ᾧ ἤλθατε πορευθῶμεν. καταβαινόντων δὲ αὐτῶν ἐπὶ τὴν Ῥώμην, πιστεύσαντες ἐβαπτίσθησαν στρατιῶται ὡς πεντακόσιοι καὶ ἐάσαντες τοὺς στρατηλάτας τοὺς ἐπιπορευομένους ἐπὶ τὸν Ἐλευθέριον ἀπῆλθον ἐπὶ τὴν Ῥώμην. ἦσαν δὲ καὶ οἱ ἀπὸ τῶν στρατηλατῶν πιστεύσαντες ἄνδρες τρεῖς οἱ ἡγούμενοι αὐτῶν.

10. *Ἐδηλώθη δὲ Ἀδριανῷ ὅτι ἤχθη ὁ Ἐλευθέριος. ἐκέλευσεν δὲ ὁ Ἀδριανὸς ἀχθῆναι λοσώριον καὶ ἐπαχθῆναι τὸν Ἐλευθέριον. ἐπεισαχθέντος δὲ αὐτοῦ ἐκέλευσεν ἀπολυθῆναι αὐτῷ λέαιναν. ἡ δὲ λέαινα βρυχομενη ἐπιγνοῦσα τὸν ἄνθρωπον τοῦ θεοῦ, ἐξελθοῦσα προσέδραμεν πρὸς τοὺς πόδας αὐτοῦ κυλιομένη. καὶ πάλιν ἐκέλευσεν ὁ Ἀδριανὸς ἀπολυθῆναι αὐτῷ λέοντα παμμεγέθη, ὃς καὶ ἐν τῷ ζωγρῷ ὢν βρυγμὸν μέγαν ἐξῆρεν, ὥστε φοβηθῆναι πᾶσαν τὴν Ῥώμην. ἀπολυθέντος οὖν αὐτοῦ, εὐθέως πρὸς τὸν ἅγιον ἐξέδραμεν καὶ ἀπεδίωξε τὴν λέαιναν ἀπὸ τῶν ποδῶν αὐτοῦ καὶ ἀναπηδήσας περιεπλέκετο τῷ Ἐλευθερίῳ καὶ τὸ μὲν στόμα αὐτοῦ ἐπέθηκεν ἐπὶ τὸν τράχηλον αὐτοῦ, τῷ δὲ ποδὶ ἐξέμασσε τὸν ἱδρῶτα τοῦ ἀγωνιστοῦ. πάντων δὲ τῶν Ῥωμαίων ἀπελθόντων ἐπὶ τὴν θέαν οἱ μὲν ἔλεγον ὅτι φαρμακός ἐστιν, ἄλλοι ἔλεγον ὅτι ὁ θεὸς τῶν Χριστιανῶν ὁ βοηθήσας Πέτρῳ αὐτὸς βοηθεῖ καὶ Ἐλευθερίῳ. δισταζόντων δὲ αὐτῶν, συνέβη ἀναλωθῆναι ἐξ αὐτῶν τῶν διστασάντων πλήθη ἱκανὰ κατασπαθισθέντων ὑπὸ τοῦ ὄχλου καὶ ὑπὸ τοῦ λέοντος.*

1 ὑμεῖσ οὖν τεκνία *PB* τῷ θεῷ: αὐτῷ *B* ἔσεσθαι *BO* καὶ ὅμωσ *P* ἐφ' ᾧ: ἐφ οἷσ *P* ἤλθατε: πάρεστε *BP* 2 πορευθῶμεν: πορ. τὴν ὁδὸν (+ ἡμῶν *B*) *BP* καταβαινόντων: κατιόντων *B* 3 στρατ. ὡσεὶ πεντ. *B*; ὡσεὶ πεντακόσιοι στρατιῶται *P* στρατιλάτασ *B* 3–4 καὶ ἐάσαντεσ - ἐπιπορευομ.: καὶ ἀπήλασαν τοὺσ πορευθέντασ *P* 4 ἐπιπορευομένους: πορευθέντασ *B* ἐπὶ τὴν Ῥώμην: πρὸσ τοὺs ἀδελφοὺσ ἐπὶ τὴν ῥώμην *BP* εἶσαν *O* 5 οἱ *B* ante πιστεύσ; om. *P* ἄνδρες τρεῖς οἱ ἡγούμενοι αὐτῶν: ἄνδρεσ (om. *B*) ἡγούμενοι τρεῖσ *BP* 6 δὲ: οὖν *B* ἤχθη: εἰσῆλθεν *P* ἐκέλ. δὲ: καὶ ἐκέλ. *BP*, om. ὁ Ἀδριανὸς 7 ἀχθῆναι: εἰσαχθῆναι *P* λουσώριον *B*; αὐτόν *P* om. καὶ ἐπαχθ. τὸν Ἐλευθ. εἰσαχθέντοσ *BP* 8 αὐτοῦ + ὑπὸ τῶν δορυφόρων *P* ἐκέλ. + ὁ ἀδριανὸσ *P* λέαιναν βρυχομένην *P* ἡ δὲ λέαινα: ἡ δὲ λ. ἐξῆλθεν *B*; om. *P* 9 καὶ ἐπιγνοῦσα *BP* τοῦ θεοῦ ἄνθρωπον *B*; τὸν θεὸν *P* omm. ἐξελθοῦσα *BP* πρὸs: ἐπὶ *B* 10 κυλιωμένη *OP*; ἐνκυλιομένη *B* ἐκέλ. οὖν πάλιν *B*; δεύτερον δὲ πάλιν ἐκέλ. *P* 11 παμμεγέθει *O*; παμμεγεθέστατον *BP* ὃs: ὅστισ *BP* omm. ὢν *BP* ἐξῆρεν: ἔρρηξεν *P* 11–12 μέγαν - Ῥώμην: ἔπεμπε μέγαν. ὡσ πάντασ τοὺσ ῥωμαίουσ φωβηθῆναι *B* 12–13 ἀπολυθέντοs - ἅγιον: ἀπολυθεὶσ δὲ ὁ λέων. εὐθέωσ προσέδραμεν (ἔδραμεν *B*) πρὸσ τὸν νεανίαν (μάρτυρα *B*) *BP* 13 ἀπεδίωξεν *B* καὶ sec.: αὐτὸσ δὲ *P* 13–14 ἀναπιδήσασ *O* αὐτὴ δὲ ἀποπηδήσασα περιεπλάκει *B* 14 ἐπέθηκεν: ἐπίγαγεν *B*; ἐπήγαγεν *P* 15 ποδὶ: ποδεὶ *B*; ποδὶ τῶ δεξιῶ *P* ἐξέμασσε: περὶ ἔμασσεν *B*; κατέμασσεν *P* 15–16 ἀγωνιστοῦ + ἐλευθερίου *P* 16–17 πάντων δὲ - ἄλλοι ἔλεγον: πάντων μὲν ῥωμαίων καὶ αὐτῶν δισταζόντων. καὶ τῶν μὲν λεγόντων φαρμάκοσ ἐστὶν. ἄλλων δὲ λεγόντων *P* 18 βοιθεῖ *O* om. δισταζόντων δὲ αὐτῶν *P*. 18–20 ἀναλωθῆναι - λέοντοs: δὲ ἀναλωθῆναι ἀπὸ τῶν δισταζόντων. ἐννέα ἄνδρασ ἀπὸ δυνάμεωσ θεοῦ *P* 16–20 πάντων δὲ - λέοντοs: καὶ λοιπὸν πάντεσ οἱ ῥωμαῖοι ἀνίλον ἑαυτοὺσ. τῶν μὲν λεγώντων ὅτι ὁ θεὸσ τῶν χριστιανῶν βοηθήσασ πέτρω. αὐτὸσ βοηθεῖ καὶ ἐλευθερίω· τῶν δὲ διασταζόντων ὡσ ἀναλωθῆναι ψυχὰσ ἀπαύτῶν πεντακισχιλίασ *B*.

11. *Τότε Ἀδριανὸς μὴ ἔχων τί ποιῆσαι αὐτῷ, εἶπε πρὸς αὐτόν· Ἐλευθέριε, ἕως πότε ἀντιποιοῦνταί σου οἱ θεοὶ καὶ οὐ πειθαρκεῖς αὐτοῖς; ὁ δὲ Ἐλευθέριος ἀναβοήσας φωνῇ μεγάλῃ εἶπεν αὐτῷ· Βδέλυγμα τῆς ἐρημώσεως, ῥομφαία σαρκοφάγε, ηὐδόκησεν ὁ θεὸς συγχωρῆσαί μοι τοῦ ζῆν ἕως τῆς δεῦρο, ἵνα σου τὴν ἀντικειμένην δύναμιν ἡττήσω· ἤδη γὰρ ὁ θεὸς περιαιρεῖταί σου τὴν βασιλείαν <καὶ δίδωσιν ἑτέρῳ>. καὶ σταθεὶς ὁ ἅγιος Ἐλευθέριος καὶ ἁπλώσας τὰς χεῖρας εἶπεν· Ἰησοῦ Χριστέ, ὁ τῆς εὐεργεσίας καὶ πάσης εἰρήνης χορηγός, ὁ πρὸ ἑωσφόρου ὢν πρὸς τὸν πατέρα, δι' οὗ ἔκτισεν ὁ θεὸς τὰ πάντα, αὐτὸς εὐδόκησον τοῦ μὴ ἐξελθεῖν με ἄστεπτον ἐκ τοῦ σταδίου τούτου, ἀλλὰ καταξίωσον τάχιον τῆς χάριτός σου μεταδοῦναί μοι. καὶ ἐξελθόντος αὐτοῦ ἀπὸ τοῦ σταδίου ἐπὶ τοὺς ἄβακας καὶ ποιησαμένου τὴν ἐν Χριστῷ σφραγῖδα, προσῆλθον αὐτῷ δύο κομφέκτορες κελεύσαντος τοῦ Ἀδριανοῦ καὶ ἔσφαξαν αὐτόν. καὶ φωνὴ ἐξ οὐρανοῦ ἐγένετο λέγουσα· Δεῦρο, Ἐλευθέριε, ἀνεῴγασίν σοι αἱ πύλαι τῆς πόλεως τῆς ἐπουρανίου καὶ οἱ ἄγγελοι τοῦ θεοῦ ἑστῶτές εἰσιν ἐκδεχόμενοί σε τοῦ ἀναδήσασθαι τοῖς σοῖς κροτάφοις τὸν στέφανον τῆς δικαιοσύνης, ὥστε ἀκοῦσαι πολλοὺς καὶ θαυμάσαι λέγοντας ὅτι ὁ θεὸς τῶν Χριστιανῶν ἐλάλησεν αὐτῷ. ἰδοῦσα δὲ τὴν τελείωσιν τοῦ ἁγίου Ἐλευθερίου ἡ μήτηρ αὐτοῦ Ἀνθία, ἥτις καὶ αὐτὴ πολλὰ ἐρωτηθεῖσα παρὰ τοῦ Ἀδριανοῦ καὶ πολλὰ παθοῦσα,*

1 *μὴ ἔχων τί: μηδὲν δυνάμενοσ P* *Τότε-ποιῆσαι: ἀδριανὸς δὲ μὴ ἰσχύων τί ποιήσει B* *εἶπε πρὸς αὐτόν: καλέσασ αὐτὸν εἶπεν αὐτῶ BP* 2 *ἀντιποιοῦντέ σοι B θεοὶ ἡμῶν B* 3 *ὁ δὲ: τότε ὁ ἅγιοσ P* *ἀναβοήσασ (βοήσασ P)... εἶπεν αὐτῷ* (om. *αυτῷ P*): *ἀνεβόησεν... λέγων αὐτῶ B* 4 *ηὐδόκησεν: γίνωσκε ὅτι ηὐδόκησεν B* 4–5 *συγχωρῆσαι-τῆς: καὶ συγχωρεῖ (συγχωρήσε B) μοι (με B) τὸ* (om. *τὸ B*) *ζῆν μέχρι τοῦ (ἄχρισ τοῦ B) BP* 5 *δεύρω BO* 6 *καὶ δίδωσιν ἑτέρῳ* addidi ex *B*; *καὶ δώσει αὐτὴν ἑτέρω P*; om. *O* om. *ἅγιος P* 7 *καὶ ἁπλώσασ-εἶπεν: ἥπλωσεν τὰσ χεῖρασ καὶ εἶπεν P* 5–7 *ἵνα σου-εἶπεν: ἵνα ἡττήσω τὴν δύναμιν σου τὴν ἀντικιμένην· σοῦ γὰρ ἤδη ὁ θεὸσ ἀφερεῖται τὴν βασιλείαν καὶ δίδωσιν ἑτέρω· καὶ ταῦτα εἰπὼν ὁ μακάριοσ ἐλευθέριοσ ἥπλωσε τὰσ χεῖρασ αὐτοῦ εἰσ τὸν οὐρανὸν καὶ εἶπεν B* 7 *Ἰησοῦ: κύριε ἰησοῦ P* 7–8 *εὐεργεσίασ υἱὸσ BP* 8 *χωρηγὸσ O*; *θεράπων B*; om. *P* *ὁ πρὸ: ὁ λόγοσ ὁ προ P* om. *ὢν P* 9 *ἔκτησεν B* *πάντα* + *καὶ τὰ προγενέστερα P* *εὐδόκησον δέσποτα. μὴ νικηθέντα με ἐξελθεῖν B*; *εὐδ. τοῦ μη με ἄστεπτον ἐξελθεῖν P* 10 om. *τούτου P* *ἀλλὰ καταξίωσον: καταξ. δὲ P* *τάχειον OP*; *τὸ τελίωμα B* 10–11 *μεταδοῦναι: ἀποδοῦναι B* 12 *ποιησαμένου: ποιήσασ P* 13 om. *κελευσ. τοῦ ἀδριανοῦ P* 13–14 *φωνὴ-λέγουσα: φωνὴ ἐκ τῶν οὐρανῶν μεγάλη ἐγένετο P* 14 om. *σοι P* 14–15 *ἐπουρανίου: ἐν τοῖσ οὐρανοῖσ P* 15 *τοῦ θεοῦ-εἰσιν: ἐκ τῶν οὐρανῶν P* *τοῦ ἀναδήσ.: ὅπωσ ἀναδήσῃ P* 16 *τὸν στέφανον: τὰ στέμματα P* 16–17 *ἀκοῦσαι... καὶ: ἀκούσαντασ P* 11–17 *ἐξελθόντος-λέγοντας ὅτι: μὴδὲ τῶ σώματι ἡττηθεὶσ ἐξῆλθεν ἀπὸ τοῦ σταδίου. καὶ ἔστη ἐπὶ τοὺς ἄβακας καὶ ὡσ ἐποίησεν τὴν ἐν κυρίω σφραγῖδα. προσῆλθον αὐτῶ κομφέκτορεσ δύο καὶ ἔσφαξαν αὐτὸν συγχωροῦντοσ τοῦ θεοῦ. καὶ εὐθέωσ φωνὴ ἐκ τῶν οὐρανὸν ἐγένετο μεγάλη· δεύρω* (sic et *O*) *ἐλευθέριε ἀνέωγέν σοι ἡ πύλη τῆσ πόλεώσ σου τοῖσ ἐν οὐρανοῖσ ὅπωσ τοῖσ σοῖσ κροτάφοισ ἀναδήσῃ τὰ στέμματα τῆσ νίκησ· οἱ δὲ ἀκούσαντεσ τῆσ φωνῆσ οἱ ὄχλοι ἐθαύμαζον λέγοντεσ ὅτι B* 18–19 *ἰδοῦσα-καὶ πολλὰ: ἀκούσασα δὲ ἡ* (+ *μακαρία B*) *μήτηρ αὐτοῦ πολλάκισ γὰρ (πολλὰ B) καὶ αὐτὴ ἐρωτηθεῖσα ὑπὸ τοῦ ἀδριανοῦ καὶ πολλὰ BP* 19 *ἐρωτιθῆσα O.*

ἐπανεπαύσατο ἐπὶ τὸν τράχηλον τοῦ υἱοῦ αὐτῆς, ὡς ἦν ἐσφαγμένος. καὶ προσελθόντες δύο κομφέκτορες ἔσφαξαν καὶ αὐτήν. καὶ οὕτως μετὰ πίστεως ἀπέδωκαν τὰς ψυχὰς τῷ θεῷ.

12. Ὁ δὲ Ἀδριανὸς ἐκέλευσεν ὥστε τὰ σώματα τῶν ἁγίων μαρτύρων μεῖναι ἐν τῷ τόπῳ. νυκτὸς δὲ ἐλθόντες οἱ Ἰλλυρικοὶ ἔκλεψαν τὰ σώματα τῶν ἁγίων μαρτύρων. ἡ δὲ Ῥώμη πᾶσα ἠπόρει τὸ τί γέγονε τὰ σώματα τῶν ἁγίων καὶ καλλινίκων μαρτύρων· ἀκούσαντες δὲ οἱ ἀδελφοὶ οἱ ἐν τῷ Ἰλλυρικῷ ἐδήλωσαν αὐτοῖς ὅτι Παρ' ἡμῖν εἰσιν τά τε τοῦ ἁγίου ἐπισκόπου ἡμῶν καὶ τῆς αὐτοῦ μητρός. καὶ οὕτως τῶν Ῥωμαίων ἐπαύσατο ὁ θυμός. ἐπράχθη δὲ ταῦτα ἐν Ῥώμῃ μηνὶ δεκεμβρίῳ πεντεκαιδεκάτῃ, βασιλεύοντος τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

[1] ἐπανεπ.: ἀνεπαύσατο *B*; ἐλθοῦσα ἐπανεπαύετο *P* τράχηλον ἐσφαγμένου *B* qui omittit. ὡς ἦν ἐσφαγμένος [1-2] καὶ προσελθ.: προσελθ. οὖν *B*; προσελθ. δὲ *P* [2] δύο: οἱ *P* [3] πίστεως: πίστ. καὶ μαρτυρίασ οἱ ἀμφότεροι *B* ἀπέδωκαν τὰς ψ. τῷ θεῷ: τὸ τέλειον τῆσ ψυχῆσ ἀπέδωκεν *P* [4-9] ταῦτα (τοῦ *B*) δὲ ἀδριανοῦ κελεύσαντος. ὥστε (om. ὥστε *B*) τὰ σώματα αὐτῶν (om. *B*) μεῖναι ἐν τῶ τόπω (ἐπὶ τὸν τάπον *B*). νυκτὸσ δὲ (om. δὲ *B*) προσελθόντεσ οἱ ἰλλυρικοὶ (ἰλλύριοι *B*). ἔκλεψαν τὰ λείψανα τῶν καλλινίκων μαρτύρων (αὐτὰ *B*)· ἦτε ῥώμη πᾶσα ἀνεβόησε φωνῆ μεγάλη ἐπὶ τὴν ἔωθεν λέγοντεσ (οἱ δὲ ῥωμαῖοι ἅπαντεσ ὑπὸ τὴν ἕω κατεβόων λέγοντεσ *B*)· τί γέγονεν (γέγωνε *B*) τὰ λείψανα (σώματα *B*) τῶν καλλινίκων μαρτύρων· καὶ οὕτωσ οἱ ἀδελφοὶ οἱ ὄντεσ ἐν τῶ ἰλλυρικῶ (om. *B* οἱ-ἰλλ.) ἐδήλωσαν αὐτοῖσ ὅτι παρ' ἡμῖν ἐστιν (αὐτῶν εἰσὶν *B*) τὰ λείψανα (λήψ. *B*) τοῦ τε ἁγίου ἐπισκόπου ἐλευθερίου καὶ τῆσ τούτου μητρὸσ ἀνθίασ (τῶν ἁγίων μαρτύρων *B*) *BP* [9] ὁ θυμὸσ ἐπαύσατο *P* [9-12] καὶ ἀκούσαντεσ οἱ ῥωμαῖοι ἐπράϋναν τὸν θυμόν:— ἐτελειώθησαν δὲ ἡμέρα πέμπτη. ὥρα ἑβδόμη ἐν τῆ μεγάλη ῥώμη βασιλεύοντοσ ἀδριανοῦ· κατὰ δὲ ἡμῖν βασιλεύοντοσ αἰωνίωσ ἰησοῦ χριστοῦ τοῦ κυρίου ἡμῶν. ᾧ ἡ δόξα καὶ τὸ κράτοσ σὺν τῶ πατρὶ καὶ τῶ ἁγίω πνεύματι εἰσ τοὺς αἰῶνας τῶν αἰώνων. [10-12] ἐπράχθη - ἀμήν: ἐπράχθη δὲ ταῦτα ἐν ῥώμη ἐπὶ βασιλέωσ ἀδριανοῦ. ἡμῶν δὲ βασιλεύοντοσ τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ. τοῦ ὄντοσ εὐλογημένου εἰσ τοὺσ αἰῶνασ τῶν αἰώνων, ἀμήν· ἐτελειώθη ὁ μακάριοσ ἐλευθέριοσ καὶ ἡ τούτου μήτηρ ἀνθία. πρὸ δεκατεσσάρων καλανδῶν μαΐω. μηνὶ ἀρτεμισίω κζ'. ἡμέρα πέμπτη. ὥρα ἑβδόμη. ᾧ ἡ δόξα εἰσ τοὺσ αἰῶνασ τῶν αἰώνων ἀμήν *P*.

INDEX VERBORUM

IN

MARTYRIUM S. THEODOTI

INDEX VERBORUM

IN

MARTYRIUM S. ARIADNES

ADDENDA

Nota alla p. 11. Non sarà discaro al lettore che ai dati topografici relativi alle adiecenze di Ancira, fornitici da Nilo, io ne aggiunga ancora un altro dalla Passione di s. Platone. È questa certamente una leggenda, ma non perciò abbiamo motivo di rigettare come fantastiche le sue indicazioni locali. Anche molte delle storie dei martiri romani sono leggendarie al più alto grado, eppure notoriamente i dati topografici che esse contengono si ritrovano sempre esattissimi. Ora il Martirio di s. Platone (c. 20 ap. Migne *P. G.* 115, 425) ci racconta che il santo fu menato a decollare *ἔξω τῆς πόλεως* (*Ἀγκύρας*) *ἐν τῷ τόπῳ ἐπιλεγομένῳ Κάμπῳ*. Gli antichi Bollandisti seguirono la lezione del cod. Bodecense (*Acta SS.* V iulii 230. 235) *ad locum qui vocatur Campus amoenus*, come più precisa. Ma, se i codici greci sono concordi nel leggere *Κάμπῳ* senz'altro, io credo che convenga riguardare l'epiteto *amoenus* come l'aggiunta di un correttore, il quale non seppe rendersi ragione di quella denominazione, in apparenza troppo generica. In realtà essa non è punto generica; poichè sappiamo che le grandi città dell'impero, ad imitazione di Roma, avevano presso le porte un luogo principalmente destinato agli esercizî militari e denominato *Campus Martius* o *Campus* simpliciter (cf. Ducange *Lexicon med. et inf. lat.* II 69 ed. Faure s. v.; Daremberg-Saglio *Dictionnaire des antiquités* s. v.). *Campus* era anche il luogo destinato alle esecuzioni capitali, onde *duci ad campum* valeva quanto *duci ad supplicium* (v. Augustin. *Contra epist. Parmeniani* 18 ap. Migne *P. L.* 43, 43) [1].

A p. 48 nota 2 aggiungi in fine: Le guardie però non parlano a Frontone della meschinità degli alberghi, sì bene della birbanteria degli albergatori (*πανδοχικὴ ἀγνωμοσύνη*), non punto migliori in Ancira, che in

[1] Il Ramsay (*The historical Geography of Asia Minor* p. 243), parlando di Ancira, ricorda anche il monastero di vergini denominato *Petrin*, di cui è menzione nella *Vita s. Theodori Syceotae* 25 (*Acta SS.* April. III 38. L'originale greco in Theophilus Ioannis *Μνημ. ἁγιολ.* 361 sqq.).

tutto il resto del mondo (cf. Daremberg-Saglio *Dictionnaire des antiquités* I 2 p. 973 s. v. *Caupona*).

A p. 96. Dicendo che l'esser sollevato sullo *ξύλον* non costituiva propriamente la tortura, ma il suo precedente immediato, non ho preteso di sostenere che quella sospensione non fosse già di per sè molto incomoda e dolorosa. Il *κρεμᾶσθαι τῷ ξύλῳ* però che precede la tortura con le unghie di ferro, con le faci, con le lamine, deve generalmente distinguersi dalle sospensioni per i piedi o per i pollici delle mani, le quali costituivano *senz'altro* una delle torture più barbare (v. *Studi e testi* 3 p. 35 nota 1).

A p. 97. Il Martirio greco di s. Teodoro tirone si legge anche nel cod. Barberin. III 37 fol. 108 sqq. Ne trascrivo qui il principio, differendo alquanto dai due codd. Vat. *Μαξιμιανὸς καὶ Μαξιμῖνος βασιλεῖς ἐξαπέστειλαν διατάγματα εἰς πᾶσαν τὴν οἰκουμένην, ὥστε πάντα τὸν* (evidentemente corrotto da *τὰ ἔθνη*) *θρησκεύοντα τὴν εὐσεβῆ θρησκείαν μιαρῶν ἐδεσμάτων ἀπογευομένους σώζεσθαι, τοὺς δὲ ἀντιλέγοντας τοῖς δικαστηρίοις παραδίδοσθαι.*

CORRIGENDA

Pag. 35 nota 4, 1 *σκύλαι corr. σκῦλαι* — 38 lin. 5 *Ματρώνα corr. Ματρῶνα* — 49 nota 1, 4 *εἶξε corr. εἶξε* — 51 nota 2, 3 *Notizie* corr. *Note* — novembre *corr.* dicembre — 64, 17 *ἐκκλεσίας corr. ἐκκλησίας* — 65, 11 *ἐστώτας corr. ἐστῶτας* — 65, 22 *συνονούμενος corr. συνωνούμενος* — 67, 14 *in app. crit. add. Μηδικῶσιν* corruptum suspicor — 69, 9 *in app. crit. add. Φρόντον* (*VV'*) consulto in *Φρόντων* non immutavi — 70, 15 *in app. crit. λελουμένων corr. λελυμένων et adde* quod fors. restituend. — 71, 16-17 *in app. crit. σκεπ- | τόμενος corr. σκε- | πτόμενος* — 78, 3 *in app. crit. ἐκέλευσε V'* fort. *corr. ἐκέλευσε V'* fort. — 78, 5 *in app. crit. add. κνίσα*: rectam graphiam *κνῖσα* consulto neglexi (cf. *Etym. M.* 522, 21 sq. ed. Gaisford) — 78, 36 *χαριζεται corr. χαρίζεται* — 96, 5; 130 I[7] *σεβαστοί corr. Σεβαστοί* — 97, 6 ab imo *ἀπιγευσαμένους corr. ἀπογευσαμένους* — 109, 6 decreto *corr.* precetto — 123 I[17] *in app. crit. κατεκεῖνον καιρον corr. κατεκεῖνον καιρον* — 132 col. II[11] *in app. crit.* linn. 11-23 *corr.* linn. 9-23 — 129, 1, 14-15. 20-21 *ἀναλύσαι corr. ἀναλῦσαι* — 130 I[25] *in app. crit. add.* rectam graphiam *διωρίαν* consulto neglexi — 132 I[16] *in app. crit. add. ὀρινῷ* consulto in *ὀρεινῷ* non immutavi — 132 II[20] *λυμαινόμενος corr. ἐκλυμαινόμενος* — 140 *lin. ult.-141 lin. 1* Prudenzio ci presenterebbe cosi *corr.* Nella prima di queste ipotesi Prudenzio ci presenterebbe — 141, 9 *ματρώνα corr. ματρῶνα* — 142 not. 1, 5 il Sirmio *corr.* Sirmio — 149, 5 *in app. crit. add.* ῶ corr. in O ex ὃ m. recent. — 155, 15; 160, 12 *σφραγίδα corr. σφραγῖδα.*

A pag. 30 linea 10-13 sopprimasi la citazione di Dionisio d'Alessandria.

INDICE GENERALE

IMPRIMATUR:

Fr. Albertus Lepidi, O. P., S. P. A. Magister.

Iosephus Ceppetelli Archiep. Myr., Vicesgerens.

Π[illegible] ... μεμολυσμένην καὶ πολλάς [illegible] ψυχὴν [illegible]


Οἰκτ[illegible] ἁμαρτ[illegible] ... πολλῶν ἁμαρτημάτων [illegible] καὶ σκό[illegible] ... κράζων σοι· ὁ Θεὸς ἐλέησόν με

[illegible] ἐρρυπωμένην· καὶ τὴν [illegible] πρὸς τὸν [illegible] ... ἐλέησόν με

[illegible] ... τὸ πλῆθος τῶν κακῶν μου [illegible] ... ἐπταπλασ[illegible] ... [illegible]

Π[illegible] ἐλέησόν με· τὸν δημιουργόν σου φι[illegible] ... ἐλέησον [illegible] τὸν ἑαυτοῦ μακρὺ[illegible]


3 2044 010 449 692


WIDENER
SEP 1 6 1990
CANC

